Collections

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS XII

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

LIPSIAE: TYPIS B G. TEVBNERI

ARISTOTELES

Stagirites, Nicomachi filius, Peripateticorum veterum princeps, secundum Platonem princeps philosophorum Graecorum, natus est anno 384. Per viginti annos (367—347) Athenis Platonis scholis interfuit. Quinque annis post Alexandri magister a Philippo constitutus est. Anno 335 Athenas reversus Peripateticorum qui vocantur scholam condidit eique duodecim annos praefuit. Laesae religionis accusatus anno 323 Chalcidem fugit, ubi anno post diem supremum obiit. — *Ἀθηναίων πολιτεία*, ex quo libro pag. 3 — 27 sumptae sunt, in papyro scripta ex Aegypto Londinium translata ibique a F. G. Kenyon primum lecta et anno 1891 edita est.

I. Post vetustam Draconis disciplinam, quae qualis fuerit enarratur, ad rem publicam Atheniensium denuo constituendam factionesque nobilium et plebis conciliandas ab utrisque Solo eligitur (c. 4—5).

Ἐπὶ Ἀρισταίχμου ἄρχοντος Δράκων τοὺς θεσμοὺς 1
ἔθηκεν· ἡ δὲ τάξις αὐτῆς τόνδε τὸν τρόπον εἶχεν.
ἀπεδέδοτο μὲν ἡ πολιτεία τοῖς ὅπλα παρεχομένοις· 2
ᾑροῦντο δὲ τοὺς μὲν ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας
οὐσίαν κεκτημένους οὐκ ἔλαττον ἢ δέκα μνῶν ἐλευ-
θέραν, στρατηγοὺς δὲ καὶ ἱππάρχους οὐσίαν ἀποφαί-
νοντας οὐκ ἔλαττον ἢ ἑκατὸν μνῶν ἐλευθέραν καὶ
παῖδας ἐκ γαμετῆς γυναικὸς γνησίους ὑπὲρ δέκα ἔτη
γεγονότας. βουλεύειν δὲ τετρακοσίους καὶ ἕνα τοὺς 3
λαχόντας ἐκ τῆς πολιτείας. κληροῦσθαι δὲ καὶ ταύ-
την καὶ τὰς ἄλλας ἀρχὰς τοὺς ὑπὲρ τριάκοντ' ἔτη γε-
γονότας, καὶ δὶς τὸν αὐτὸν μὴ ἄρχειν πρὸ τοῦ πάντας
ἐξελθεῖν· τότε δὲ πάλιν ἐξ ὑπαρχῆς κληροῦν. εἰ δέ
τις τῶν βουλευτῶν, ὅταν ἕδρα βουλῆς ἢ ἐκκλησίας ᾖ,
ἐκλείποι τὴν σύνοδον, ἀπέτινον ὁ μὲν πεντακοσιομέ-
διμνος τρεῖς δραχμάς, ὁ δὲ ἱππεὺς δύο, ὁ ζευγίτης δὲ

4 *μίαν. ἡ δὲ βουλὴ ἡ ἐξ Ἀρείου πάγου φύλαξ ἦν τῶν νόμων καὶ διετήρει τὰς ἀρχάς, ὅπως κατὰ τοὺς νόμους ἄρχωσιν. ἐξῆν δὲ τῷ ἀδικουμένῳ πρὸς τὴν τῶν Ἀρεοπαγιτῶν βουλὴν εἰσαγγέλλειν ἀποφαίνοντι, παρ' ὃν ἀδικεῖται νόμον. ἐπὶ δὲ τοῖς σώμασιν ἦσαν οἱ δανεισμοί, καὶ ἡ χώρα δι' ὀλίγων ἦν.*

5 *Τοιαύτης δὲ τῆς τάξεως οὔσης ἐν τῇ πολιτείᾳ καὶ τῶν πολλῶν δουλευόντων τοῖς ὀλίγοις, ἀντέστη τοῖς γνωρίμοις ὁ δῆμος. ἰσχυρᾶς δὲ τῆς στάσεως οὔσης καὶ πολὺν χρόνον ἀντικαθημένων ἀλλήλοις, εἵλοντο κοινῇ διαλλακτὴν καὶ ἄρχοντα Σόλωνα καὶ τὴν πολιτείαν ἐπέτρεψαν αὐτῷ, ποιήσαντι τὴν ἐλεγείαν ἧς ἐστιν ἀρχή·*

‘γιγνώσκω, καί μοι φρενὸς ἔνδοθεν ἄλγεα κεῖται,
πρεσβυτάτην ἐσορῶν γαῖαν Ἰαονίας
καρφομένην·’

ἐν ᾗ πρὸς ἑκατέρους ὑπὲρ ἑκατέρων μάχεται καὶ διαμφισβητεῖ, καὶ μετὰ ταῦτα κοινῇ παραινεῖ καταπαύειν
6 *τὴν ἐνεστῶσαν φιλονικίαν. ἦν δ' ὁ Σόλων τῇ μὲν φύσει καὶ τῇ δόξῃ τῶν πρώτων, τῇ δ' οὐσίᾳ καὶ τοῖς πράγμασι τῶν μέσων, ὡς ἔκ τε τῶν ἄλλων ὁμολογεῖται καὶ αὐτὸς ἐν τοῖσδε τοῖς ποιήμασιν μαρτυρεῖ, παραινῶν τοῖς πλουσίοις μὴ πλεονεκτεῖν·*

‘ὑμεῖς δ' ἡσυχάσαντες ἐνὶ φρεσὶ καρτερὸν ἦτορ,
οἳ πολλῶν ἀγαθῶν εἰς κόρον ἠλάσατε,
ἐν μετρίοισι τίθεσθε μέγαν νόον· οὔτε γὰρ ἡμεῖς
πεισόμεθ', οὔθ' ὑμῖν ἄρτια πάντ' ἔσεται.’

καὶ ὅλως αἰεὶ τὴν αἰτίαν τῆς στάσεως ἀνάπτει τοῖς πλουσίοις· διὸ καὶ ἐν ἀρχῇ τῆς ἐλεγείας δεδοικέναι φησὶ ‘τήν τε φιλαργυρίαν τήν τε ὑπερηφανίαν’, ὡς διὰ ταῦτα τῆς ἔχθρας ἐνεστώσης.

II. Solo Atheniensium rem publicam legibus constituit (c. 6—11).

a. Solo plebem in libertatem vindicat et antiquam fenerandi rationem tollit.

Κύριος γενόμενος τῶν πραγμάτων Σόλων τόν τε 1
δῆμον ἠλευθέρωσε καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλ-
λον, κωλύσας δανείζειν ἐπὶ τοῖς σώμασιν, καὶ χρεῶν
ἀποκοπὰς ἐποίησε καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων,
ἃς σεισάχθειαν καλοῦσιν, ὡς ἀποσεισαμένων τὸ βάρος.
ἐν οἷς πειρῶνταί τινες διαβάλλειν αὐτόν· συνέβη γὰρ 2
τῷ Σόλωνι μέλλοντι ποιεῖν τὴν σεισάχθειαν προειπεῖν
τισι τῶν γνωρίμων, ἔπειθ', ὡς μὲν οἱ δημοτικοὶ λέ-
γουσι, παραστρατηγηθῆναι διὰ τῶν φίλων, ὡς δ' οἱ
βουλόμενοι βλασφημεῖν, καὶ αὐτὸν κοινωνεῖν. δανει-
σάμενοι γὰρ οὗτοι συνεπρίαντο πολλὴν χώραν, καὶ μετ'
οὐ πολὺ τῆς τῶν χρεῶν ἀποκοπῆς γιγνομένης ἐπλού-
τουν· ὅθεν φασὶ γενέσθαι τοὺς ὕστερον δοκοῦντας
εἶναι παλαιοπλούτους. οὐ μὴν ἀλλὰ πιθανώτερος ὁ 3
τῶν δημοτικῶν λόγος· οὐ γὰρ εἰκὸς ἐν μὲν τοῖς ἄλλοις
οὕτω μέτριον γενέσθαι καὶ κοινόν, ὥστ', ἐξὸν αὐτῷ
τοὺς νόμους ὑποποιησάμενον τυραννεῖν τῆς πόλεως,
ἀμφοτέροις ἀπεχθέσθαι καὶ περὶ πλείονος ποιήσασθαι
τὸ καλὸν καὶ τὴν τῆς πόλεως σωτηρίαν ἢ τὴν ἑαυτοῦ
πλεονεξίαν, ἐν οὕτω δὲ μικροῖς καὶ ἀναξίοις καταρρυ-
παίνειν ἑαυτόν. ὅτι δὲ ταύτην ἔσχε τὴν ἐξουσίαν, τά 4
τε πράγματα νοσοῦντα μαρτυρεῖ καὶ ἐν τοῖς ποιήμασιν
αὐτὸς πολλαχοῦ μέμνηται καὶ οἱ ἄλλοι συνομολογοῦσι
πάντες. ταύτην μὲν οὖν χρὴ νομίζειν ψευδῆ τὴν
αἰτίαν εἶναι.

b. Solonis leges atque instituta.

Πολιτείαν δὲ κατέστησε καὶ νόμους ἔθηκεν ἄλλους, 5

τοῖς δὲ Δράκοντος θεσμοῖς ἐπαύσαντο χρώμενοι πλὴν τῶν φονικῶν. ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείῳ, καὶ ὤμοσαν χρήσεσθαι πάντες. οἱ δ' ἐννέα ἄρχοντες ὀμνύντες πρὸς τῷ λίθῳ κατεφάτιζον ἀναθήσειν ἀνδριάντα χρυσοῦν, ἐάν τινα παραβῶσι τῶν νόμων· ὅθεν ἔτι καὶ νῦν
6 οὕτως ὀμνύουσι. κατέκλησεν δὲ τοὺς νόμους εἰς ἑκατὸν ἔτη, καὶ διέταξε τὴν πολιτείαν τόνδε τὸν τρόπον.
7 τὸ πᾶν πλῆθος ἐκ τιμημάτων διεῖλεν εἰς τέτταρα τέλη, καθάπερ διῄρητο καὶ πρότερον, εἰς πεντακοσιομέδιμνον καὶ ἱππέα καὶ ζευγίτην καὶ θῆτα. καὶ τὰς μὲν ἀρχὰς ἀπένειμεν ἄρχειν ἐκ πεντακοσιομεδίμνων καὶ ἱππέων καὶ ζευγιτῶν, τοὺς ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας καὶ τοὺς πωλητὰς καὶ τοὺς ἕνδεκα καὶ τοὺς κωλακρέτας, ἑκάστοις ἀνὰ λόγον τῷ μεγέθει τοῦ τιμήματος ἀποδιδοὺς τὴν ἀρχήν· τοῖς δὲ τὸ θητικὸν τελοῦσιν
8 ἐκκλησίας καὶ δικαστηρίων μετέδωκε μόνον. ἔδει δὲ τελεῖν πεντακοσιομέδιμνον μέν, ὃς ἂν ἐκ τῆς οἰκείας ποιῇ πεντακόσια μέτρα τὰ συνάμφω ξηρὰ καὶ ὑγρά, ἱππάδα δὲ τοὺς τριακόσια ποιοῦντας, ὡς δ' ἔνιοί φασι, τοὺς ἱπποτροφεῖν δυναμένους — σημεῖον δὲ φέρουσι τό τε ὄνομα τοῦ τέλους, ὡς ἂν ἀπὸ τοῦ πράγματος κείμενον, καὶ τὰ ἀναθήματα τῶν ἀρχαίων· ἀνάκειται γὰρ ἐν ἀκροπόλει εἰκών, ἐφ' ᾗ ἐπιγέγραπται τάδε·

'Διφίλου Ἀνθεμίων τόνδ' ἀνέθηκε θεοῖς,
θητικοῦ ἀντὶ τέλους ἱππάδ' ἀμειψάμενος.'

καὶ παρέστηκεν ἵππος —, ὡς τὴν ἱππάδα τοῦτο σημαίνουσαν· οὐ μὴν ἀλλ' εὐλογώτερον τοῖς μέτροις διῃρῆσθαι, καθάπερ τοὺς πεντακοσιομεδίμνους· ζευγίσιον δὲ τελεῖν τοὺς διακόσια τὰ συνάμφω ποιοῦντας· τοὺς δ' ἄλλους θητικόν, οὐδεμιᾶς μετέχοντας ἀρχῆς·

διὸ καὶ νῦν ἐπειδὰν ἔρηται τὸν μέλλοντα κληροῦσθαί
τιν' ἀρχήν, ποῖον τέλος τελεῖ, οὐδ' ἂν εἷς εἴποι θη-
τικόν.

Τὰς δ' ἀρχὰς ἐποίησε κληρωτὰς ἐκ προκρίτων, οὓς 9
ἑκάστη προκρίνειε τῶν φυλῶν. προύκρινεν δ' εἰς τοὺς
ἐννέα ἄρχοντας ἑκάστη δέκα, καὶ τούτους διεκλήρουν·
ὅθεν ἔτι διαμένει ταῖς φυλαῖς τὸ δέκα κληροῦν ἑκά-
στην, εἶτ' ἐκ τούτων κυαμεύειν. σημεῖον δ', ὅτι κλη-
ρωτὰς ἐποίησεν ἐκ τῶν τιμημάτων, ὁ περὶ τῶν ταμιῶν
νόμος, ᾧ χρώμενοι διατελοῦσιν ἔτι καὶ νῦν· κελεύει
γὰρ κληροῦν τοὺς ταμίας ἐκ πεντακοσιομεδίμνων. Σό- 10
λων μὲν οὖν οὕτως ἐνομοθέτησεν περὶ τῶν ἐννέα
ἀρχόντων· τὸ δ' ἀρχαῖον ἡ ἐν Ἀρείῳ πάγῳ βουλή,
ἀνακαλεσαμένη καὶ κρίνασα καθ' αὑτήν, τὸν ἐπιτήδειον
ἐφ' ἑκάστῃ τῶν ἀρχῶν ἐπ' ἐνιαυτὸν ἄρξοντα ἀπέστελλεν.
φυλαὶ δ' ἦσαν τέτταρες, καθάπερ πρότερον, καὶ φυ- 11
λοβασιλεῖς] τέτταρες. ἐκ δὲ τῆς φυλῆς ἑκάστης ἦσαν
νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώ-
δεκα καθ' ἑκάστην, ἐπὶ δὲ τῶν ναυκραριῶν ἀρχὴ
καθεστηκυῖα ναύκραροι, τεταγμένη πρός τε τὰς εἰσφο-
ρὰς καὶ τὰς δαπάνας τὰς γιγνομένας· διὸ καὶ ἐν τοῖς
νόμοις τοῖς Σόλωνος οἷς οὐκέτι χρῶνται πολλαχοῦ
γέγραπται, 'τοὺς ναυκράρους εἰσπράττειν' καὶ 'ἀνα-
λίσκειν ἐκ τοῦ ναυκραρικοῦ ἀργυρίου.' βουλὴν δ' 12
ἐποίησε τετρακοσίους, ἑκατὸν ἐξ ἑκάστης φυλῆς, τὴν
δὲ τῶν Ἀρεοπαγιτῶν ἔταξεν ἐπὶ τὸ νομοφυλακεῖν,
ὥσπερ ὑπῆρχεν καὶ πρότερον ἐπίσκοπος οὖσα τῆς
πολιτείας, ἣ τά τε ἄλλα τὰ πλεῖστα καὶ τὰ μέγιστα
τῶν πολιτικῶν διετήρει καὶ τοὺς ἁμαρτάνοντας ηὔθυ-
νεν κυρία οὖσα καὶ ζημιοῦν καὶ κολάζειν καὶ τὰς
ἐκτίσεις ἀνέφερεν εἰς πόλιν, οὐκ ἐπιγράφουσα τὴν

πρόφασιν τοῦ εὐθύνεσθαι, καὶ τοὺς ἐπὶ καταλύσει
τοῦ δήμου συνισταμένους ἔκρινεν, Σόλωνος θέντος
13 νόμον εἰσαγγελίας περὶ αὐτῶν. ὁρῶν δὲ τὴν μὲν πό-
λιν πολλάκις στασιάζουσαν, τῶν δὲ πολιτῶν ἐνίους
διὰ τὴν ῥαθυμίαν ἀγαπῶντας τὸ αὐτόματον, νόμον
ἔθηκεν πρὸς αὐτοὺς ἴδιον, ὃς ἂν στασιαζούσης τῆς
πόλεως μὴ θῆται τὰ ὅπλα μηδὲ μεθ' ἑτέρων, ἄτιμον
εἶναι καὶ τῆς πόλεως μὴ μετέχειν.

14 Τὰ μὲν οὖν περὶ τὰς ἀρχὰς τοῦτον εἶχε τὸν τρό-
πον. δοκεῖ δὲ τῆς Σόλωνος πολιτείας τρία τάδ' εἶναι
τὰ δημοτικώτατα· πρῶτον μὲν καὶ μέγιστον τὸ μὴ δα-
νείζειν ἐπὶ τοῖς σώμασιν, ἔπειτα τὸ ἐξεῖναι τῷ βουλο-
μένῳ τιμωρεῖν ὑπὲρ τῶν ἀδικουμένων, τρίτον δ', ᾧ
μάλιστά φασιν ἰσχυκέναι τὸ πλῆθος, ἡ εἰς τὸ δικα-
στήριον ἔφεσις· κύριος γὰρ ὢν ὁ δῆμος τῆς ψήφου
15 κύριος γίγνεται τῆς πολιτείας. ἔτι δὲ καὶ διὰ τὸ μὴ
γεγράφθαι τοὺς νόμους ἁπλῶς μηδὲ σαφῶς, ἀλλ'
ὥσπερ ὁ περὶ τῶν κλήρων καὶ ἐπικλήρων, ἀνάγκη
πολλὰς ἀμφισβητήσεις γίγνεσθαι καὶ πάντα βραβεύειν
καὶ τὰ κοινὰ καὶ τὰ ἴδια τὸ δικαστήριον. οἴονται μὲν
οὖν τινες ἐπίτηδες ἀσαφεῖς αὐτὸν ποιῆσαι τοὺς νό-
μους, ὅπως ᾖ τῆς κρίσεως ὁ δῆμος κύριος. οὐ μὴν
εἰκός, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι καθόλου περιλαβεῖν
τὸ βέλτιστον· οὐ γὰρ δίκαιον ἐκ τῶν νῦν γιγνομέ-
νων, ἀλλ' ἐκ τῆς ἄλλης πολιτείας θεωρεῖν τὴν ἐκείνου
βούλησιν.

16 Ἐν μὲν οὖν τοῖς νόμοις ταῦτα δοκεῖ θεῖναι δη-
μοτικά, πρὸ δὲ τῆς νομοθεσίας ποιήσας καὶ τὴν τῶν
χρεῶν ἀποκοπὴν καὶ μετὰ ταῦτα τήν τε τῶν μέτρων
καὶ σταθμῶν καὶ τὴν τοῦ νομίσματος αὔξησιν. ἐπ'
ἐκείνου γὰρ ἐγένετο καὶ τὰ μέτρα μείζω τῶν Φειδω-

νείων, καὶ ἡ μνᾶ πρότερον ἔχουσα σταθμὸν ἑβδομήκοντα δραχμὰς ἀνεπληρώθη ταῖς ἑκατόν· ἦν δ' ὁ ἀρχαῖος χαρακτὴρ δίδραχμον. ἐποίησε δὲ καὶ σταθμὰ πρὸς τὸ νόμισμα, τρεῖς καὶ ἑξήκοντα μνᾶς τὸ τάλαντον ἀγούσας, καὶ ἐπιδιενεμήθησαν αἱ τρεῖς μναῖ τῷ στατῆρι καὶ τοῖς ἄλλοις σταθμοῖς.

Διατάξας δὲ τὴν πολιτείαν ὅνπερ εἴρηται τρόπον, 17
ἐπειδὴ προσιόντες αὐτῷ περὶ τῶν νόμων ἐνώχλουν, τὰ μὲν ἐπιτιμῶντες τὰ δὲ ἀνακρίνοντες, βουλόμενος μήτε ταῦτα κινεῖν μήτ' ἀπεχθάνεσθαι παρὼν ἀποδημίαν ἐποιήσατο κατ' ἐμπορίαν ἅμα καὶ θεωρίαν εἰς Αἴγυπτον, εἰπὼν ὡς οὐχ ἥξει δέκα ἐτῶν· οὐ γὰρ οἴεσθαι δίκαιος εἶναι τοὺς νόμους ἐξηγεῖσθαι παρών, ἀλλ' ἕκαστον τὰ γεγραμμένα ποιεῖν. ἅμα δὲ καὶ συν- 18
έβαινεν αὐτῷ τῶν τε γνωρίμων διαφόρους γεγενῆσθαι πολλούς, διὰ τὰς τῶν χρεῶν ἀποκοπάς, καὶ τὰς στάσεις ἀμφοτέρας μεταθέσθαι, διὰ τὸ παρὰ δόξαν αὐτοῖς γενέσθαι τὴν κατάστασιν. ὁ μὲν γὰρ δῆμος ᾤετο πάντ' ἀνάδαστα ποιήσειν αὐτόν, οἱ δὲ γνώριμοι πάλιν ἢ τὴν αὐτὴν τάξιν ἀποδώσειν ἢ μικρὸν παραλλάξαντα· Σόλων δ' ἀμφοτέροις ἠναντιώθη καί, ἐξὸν αὐτῷ μεθ' ὁποτέρων ἠβούλετο συστάντα τυραννεῖν, εἵλετο πρὸς ἀμφοτέρους ἀπεχθέσθαι σώσας τὴν πατρίδα καὶ τὰ βέλτιστα νομοθετήσας.

III. Quomodo Pisistratus civitate in factiones divisa tyrannidem occupaverit (c. 13—15).

Σόλωνος ἀποδημήσαντος, ἔτι τῆς πόλεως τεταραγμέ- 1
νης, ἐπὶ μὲν ἔτη τέτταρα διῆγον (οἱ Ἀθηναῖοι) ἐν ἡσυχίᾳ· τῷ δὲ πέμπτῳ μετὰ τὴν Σόλωνος ἀρχὴν οὐ κατέστησαν ἄρχοντα διὰ τὴν στάσιν, καὶ πάλιν ἔτει

πέμπτῳ διὰ τὴν αὐτὴν αἰτίαν ἀναρχίαν ἐποίησαν.
2 μετὰ δὲ ταῦτα Δαμασίας αἱρεθεὶς ἄρχων ἔτη δύο καὶ
δύο μῆνας ἦρξεν, ἕως ἐξηλάθη βίᾳ τῆς ἀρχῆς. εἶτ'
ἔδοξεν αὐτοῖς διὰ τὸ στασιάζειν ἄρχοντας ἑλέσθαι
δέκα, πέντε μὲν εὐπατριδῶν, τρεῖς δὲ ἀγροίκων, δύο
δὲ δημιουργῶν, καὶ οὗτοι τὸν μετὰ Δαμασίαν ἦρξαν
ἐνιαυτόν. ᾧ καὶ δῆλον ὅτι μεγίστην εἶχεν δύναμιν ὁ
ἄρχων· φαίνονται γὰρ αἰεὶ στασιάζοντες περὶ ταύτης
3 τῆς ἀρχῆς. ὅλως δὲ διετέλουν νοσοῦντες τὰ πρὸς
ἑαυτούς, οἱ μὲν ἀρχὴν καὶ πρόφασιν ἔχοντες τὴν τῶν
χρεῶν ἀποκοπήν (συνεβεβήκει γὰρ αὐτοῖς γεγονέναι
πένησιν), οἱ δὲ τῇ πολιτείᾳ δυσχεραίνοντες διὰ τὸ
μεγάλην γεγονέναι μεταβολήν, ἔνιοι δὲ διὰ τὴν πρὸς
4 ἀλλήλους φιλονικίαν. ἦσαν δ' αἱ στάσεις τρεῖς· μία
μὲν τῶν παραλίων, ὧν προειστήκει Μεγακλῆς ὁ Ἀλκ-
μέωνος, οἵπερ ἐδόκουν μάλιστα διώκειν τὴν μέσην
πολιτείαν. ἄλλη δὲ τῶν πεδιακῶν, οἳ τὴν ὀλιγαρχίαν
ἐζήτουν· ἡγεῖτο δ' αὐτῶν Λυκοῦργος. τρίτη δ' ἡ τῶν
διακρίων, ἐφ' ᾗ τεταγμένος ἦν Πεισίστρατος, δημοτι-
5 κώτατος εἶναι δοκῶν. προσεκεκόσμηντο δὲ τούτοις οἵ
τε ἀφῃρημένοι τὰ χρέα διὰ τὴν ἀπορίαν καὶ οἱ τῷ
γένει μὴ καθαροὶ διὰ τὸν φόβον· εἶχον δ' ἕκαστοι τὰς
ἐπωνυμίας ἀπὸ τῶν τόπων, ἐν οἷς ἐγεώργουν.
6 Δημοτικώτατος δ' εἶναι δοκῶν ὁ Πεισίστρατος καὶ
σφόδρ' εὐδοκιμηκὼς ἐν τῷ πρὸς Μεγαρέας πολέμῳ,
κατατραυματίσας ἑαυτὸν συνέπεισε τὸν δῆμον, ὡς ὑπὸ
τῶν ἀντιστασιωτῶν ταῦτα πεπονθώς, φυλακὴν ἑαυτῷ
δοῦναι τοῦ σώματος, Ἀριστίωνος γράψαντος τὴν γνώ-
μην. λαβὼν δὲ τοὺς κορυνηφόρους καλουμένους, ἐπα-
ναστὰς μετὰ τούτων τῷ δήμῳ κατέσχε τὴν ἀκρόπολιν
ἔτει τετάρτῳ καὶ τριακοστῷ μετὰ τὴν τῶν νόμων θέ-

σιν ἐπὶ Κωμέου ἄρχοντος. λέγεται δὲ Σόλωνα Πει- 7
σιστράτου τὴν φυλακὴν αἰτοῦντος ἀντιλέξαι καὶ εἰπεῖν,
ὅτι τῶν μὲν εἴη σοφώτερος, τῶν δ' ἀνδρειότερος· ὅσοι
μὲν γὰρ ἀγνοοῦσι Πεισίστρατον ἐπιτιθέμενον τυραν-
νίδι, σοφώτερος εἶναι τούτων, ὅσοι δ' εἰδότες κατα-
σιωπῶσιν, ἀνδρειότερος. ἐπεὶ δὲ λέγων οὐκ ἔπειθεν,
ἐξαράμενος τὰ ὅπλα πρὸ τῶν θυρῶν, αὐτὸς μὲν ἔφη
βεβοηθηκέναι τῇ πατρίδι, καθ' ὅσον ἦν δυνατός (ἤδη
γὰρ σφόδρα πρεσβύτης ἦν), ἀξιοῦν δὲ καὶ τοὺς ἄλλους
ταὐτὸ τοῦτο ποιεῖν. Σόλων μὲν οὖν οὐδὲν ἤνυσεν 8
τότε παρακαλῶν· Πεισίστρατος δὲ λαβὼν τὴν ἀρχὴν
διῴκει τὰ κοινὰ πολιτικῶς μᾶλλον ἢ τυραννικῶς.
οὔπω δὲ τῆς ἀρχῆς ἐρριζωμένης, ὁμοφρονήσαντες οἱ
περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον ἐξέβαλον
αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάστασιν ἐφ'
Ἡγησίου ἄρχοντος. ἔτει δὲ δωδεκάτῳ μετὰ ταῦτα 9
περιελαυνόμενος ὁ Μεγακλῆς τῇ στάσει, πάλιν ἐπι-
κηρυκευσάμενος πρὸς τὸν Πεισίστρατον, ἐφ' ᾧτε τὴν
θυγατέρα αὐτοῦ λήψεται, κατήγαγεν αὐτὸν ἀρχαίως
καὶ λίαν ἁπλῶς. προδιασπείρας γὰρ λόγον, ὡς τῆς
Ἀθηνᾶς καταγούσης Πεισίστρατον, γυναῖκα καὶ μεγά-
λην καὶ καλὴν ἐξευρών, ὡς μὲν Ἡρόδοτός φησιν I 60
ἐκ τοῦ δήμου τῶν Παιανιέων, ὡς δ' ἔνιοι λέγουσιν
ἐκ τοῦ Κολλυτοῦ στεφανόπωλιν Θρᾶτταν, ᾗ ὄνομα
Φύη, τὴν θεὸν ἀπομιμησάμενος τῷ κόσμῳ, συνεισήγα-
γεν μετ' αὐτοῦ, καὶ ὁ μὲν Πεισίστρατος ἐφ' ἅρματος
εἰσήλαυνε παραιβατούσης τῆς γυναικός, οἱ δ' ἐν τῷ
ἄστει προσκυνοῦντες ἐδέχοντο θαυμάζοντες.

Ἡ μὲν οὖν πρώτη κάθοδος ἐγένετο τοιαύτη. μετὰ 10
δὲ ταῦτα ἐξέπεσε τὸ δεύτερον ἔτει μάλιστα ἑβδόμῳ
μετὰ τὴν κάθοδον· οὐ γὰρ πολὺν χρόνον διακατέσχεν,

ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τῇ τοῦ Μεγακλέους θυ-
γατρὶ συγγίγνεσθαι φοβηθεὶς ἀμφοτέρας τὰς στάσεις
11 ὑπεξῆλθεν· καὶ πρῶτον μὲν συνῴκισε περὶ τὸν Θερ-
μαῖον κόλπον χωρίον ὃ καλεῖται Ῥαίκηλος, ἐκεῖθεν
δὲ παρῆλθεν εἰς τοὺς περὶ Πάγγαιον τόπους, ὅθεν
χρηματισάμενος καὶ στρατιώτας μισθωσάμενος, ἐλθὼν
εἰς Ἐρέτριαν ἑνδεκάτῳ πάλιν ἔτει, τότε πρῶτον ἀνα-
σώσασθαι βίᾳ τὴν ἀρχὴν ἐπεχείρει, συμπροθυμουμέ-
νων αὐτῷ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ Θηβαίων
καὶ Λυγδάμιος τοῦ Ναξίου, ἔτι δὲ τῶν ἱππέων τῶν
12 ἐχόντων ἐν Ἐρετρίᾳ τὴν πολιτείαν. νικήσας δὲ τὴν
ἐπὶ Παλληνίδι μάχην καὶ λαβὼν τὴν ἀρχὴν καὶ παρ-
ελόμενος τοῦ δήμου τὰ ὅπλα κατεῖχεν ἤδη τὴν τυραν-
13 νίδα βεβαίως. παρείλετο δὲ τοῦ δήμου τὰ ὅπλα
τόνδε τὸν τρόπον. ἐξοπλασίαν ἐν τῷ Θησείῳ ποιησά-
μενος ἐκκλησιάζειν ἐπεχείρει, τῆς δὲ φωνῆς ἐχάλα-
σεν μικρόν· οὐ φασκόντων δὲ κατακούειν, ἐκέλευσεν
αὐτοὺς προσαναβῆναι πρὸς τὸ πρόπυλον τῆς ἀκροπό-
λεως, ἵνα γεγωνῇ μᾶλλον. ἐν ᾧ δ' ἐκεῖνος διέτριβε
δημηγορῶν, ἀνελόντες οἱ ἐπὶ τούτῳ τεταγμένοι τὰ
ὅπλα, καὶ κατακλήσαντες εἰς τὰ πλησίον οἰκήματα τοῦ
Θησείου διεσήμηναν ἐλθόντες πρὸς τὸν Πεισίστρατον.
14 ὁ δὲ ἐπεὶ τὸν ἄλλον λόγον ἐπετέλεσεν, εἶπε καὶ περὶ
τῶν ὅπλων τὸ γεγονός, ὡς οὐ χρὴ θαυμάζειν οὐδ'
ἀθυμεῖν, ἀλλ' ἀπελθόντας ἐπὶ τῶν ἰδίων εἶναι, τῶν
δὲ κοινῶν αὐτὸς ἐπιμελήσεσθαι πάντων.

IV. Pisistratus rerum potitus eiusque filii quomodo Atheniensium rem publicam administraverint quibusque de causis Hippiam Athenienses expulerint (c. 16—19).

1 Ἡ μὲν οὖν Πεισιστράτου τυραννὶς ἐξ ἀρχῆς τε

*κατέστη τοῦτον τὸν τρόπον, καὶ μεταβολὰς ἔσχεν το-
σαύτας. διῴκει δ' ὁ Πεισίστρατος, ὥσπερ εἴρηται, τὰ
περὶ τὴν πόλιν μετρίως καὶ μᾶλλον πολιτικῶς ἢ τυ-
ραννικῶς· ἔν τε γὰρ τοῖς ἄλλοις φιλάνθρωπος ἦν καὶ
πρᾷος, καὶ τοῖς ἁμαρτάνουσιν συγγνωμονικός, καὶ δὴ
καὶ τοῖς ἀπόροις προεδάνειζε χρήματα πρὸς τὰς ἐργα-
σίας, ὥστε διατρέφεσθαι γεωργοῦντας. τοῦτο δ' ἐποίει* 2
*δυοῖν χάριν, ἵνα μήτε ἐν τῷ ἄστει διατρίβωσιν, ἀλλὰ
διεσπαρμένοι κατὰ τὴν χώραν, καὶ ὅπως εὐποροῦντες
τῶν μετρίων καὶ πρὸς τοῖς ἰδίοις ὄντες μήτ' ἐπιθυ-
μῶσι μήτε σχολάζωσιν ἐπιμελεῖσθαι τῶν κοινῶν. ἅμα* 3
*δὲ συνέβαινεν αὐτῷ καὶ τὰς προσόδους γίγνεσθαι
μείζους, ἐξεργαζομένης τῆς χώρας· ἐπράττετο γὰρ ἀπὸ
τῶν γιγνομένων δεκάτην. διὸ καὶ τοὺς κατὰ δήμους* 4
*κατεσκεύασε δικαστάς, καὶ αὐτὸς ἐξῄει πολλάκις εἰς
τὴν χώραν, ἐπισκοπῶν καὶ διαλύων τοὺς διαφερομέ-
νους, ὅπως μὴ καταβαίνοντες εἰς τὸ ἄστυ παραμελῶσι
τῶν ἔργων. τοιαύτης γάρ τινος ἐξόδου τῷ Πεισι-* 5
*στράτῳ γιγνομένης, συμβῆναί φασι τὸ περὶ τὸν ἐν τῷ
Ὑμηττῷ γεωργοῦντα τὸ κληθὲν ὕστερον χωρίον ἀτε-
λές. ἰδὼν γάρ τινα παντελῶς πέτρας σκάπτοντα καὶ
ἐργαζόμενον, θαυμάσας τὸν παῖδα ἐκέλευσεν ἐρέσθαι,
τί γίγνεται ἐκ τοῦ χωρίου· ὁ δὲ 'ὅσα κακὰ καὶ ὀδύ-
ναι' ἔφη, 'καὶ τούτων τῶν κακῶν καὶ ὀδυνῶν Πεισί-
στρατον δεῖ λαβεῖν τὴν δεκάτην.' ὁ μὲν οὖν ἄνθρω-
πος ἀπεκρίνατο ἀγνοῶν, ὁ δὲ Πεισίστρατος ἡσθεὶς διὰ
τὴν παρρησίαν καὶ τὴν φιλεργίαν ἀτελῆ πάντων ἐποί-
ησεν αὐτόν. οὐδὲν δὲ τὸ πλῆθος οὐδ' ἐν τοῖς ἄλλοις* 6
*παρηνώχλει κατὰ τὴν ἀρχήν, ἀλλ' αἰεὶ παρεσκεύαζεν
εἰρήνην καὶ ἐτήρει τὴν ἡσυχίαν· διὸ καὶ πολλάκις
ἀκούειν ἦν, ὡς ἡ Πεισιστράτου τυραννὶς ὁ ἐπὶ Κρό-*

νου βίος εἴη· συνέβη γὰρ ὕστερον διαδεξαμένων τῶν
7 υἱέων, πολλῷ γενέσθαι τραχυτέραν τὴν ἀρχήν. μέγι-
στον δὲ πάντων ἦν τῶν εἰρημένων, τὸ δημοτικὸν εἶναι
τῷ ἤθει καὶ φιλάνθρωπον. ἔν τε γὰρ τοῖς ἄλλοις
ἐβούλετο πάντα διοικεῖν κατὰ τοὺς νόμους, οὐδεμίαν
ἑαυτῷ πλεονεξίαν διδούς, καί ποτε προσκληθεὶς φόνου
δίκην εἰς Ἄρειον πάγον, αὐτὸς μὲν ἀπήντησεν ὡς ἀπο-
λογησόμενος, ὁ δὲ προσκαλεσάμενος φοβηθεὶς ἔλιπεν.
8 διὸ καὶ πολὺν χρόνον ἔμεινεν ἐν τῇ ἀρχῇ, καὶ ὅτ᾽
ἐκπέσοι πάλιν ἀνελάμβανε ῥᾳδίως. ἐβούλοντο γὰρ καὶ
τῶν γνωρίμων καὶ τῶν δημοτικῶν οἱ πολλοί· τοὺς
μὲν γὰρ ταῖς ὁμιλίαις, τοὺς δὲ ταῖς εἰς τὰ ἴδια
βοηθείαις προσήγετο, καὶ πρὸς ἀμφοτέρους ἐπεφύκει
9 καλῶς. ἦσαν δὲ καὶ τοῖς Ἀθηναίοις οἱ περὶ τῶν
τυράννων νόμοι πρᾶοι κατ᾽ ἐκείνους τοὺς καιρούς, οἵ
τ᾽ ἄλλοι καὶ δὴ καὶ ὁ μάλιστα καθήκων πρὸς τὴν
κατάστασιν τῆς τυραννίδος. νόμος γὰρ αὐτοῖς ἦν ὅδε·
'θέσμια τάδε Ἀθηναίοις καὶ πάτρια. ἐάν τινες τυραν-
νεῖν ἐπανιστῶνται ἢ τις συγκαθιστῇ τὴν τυραννίδα,
ἄτιμον εἶναι καὶ αὐτὸν καὶ γένος.'
10 Πεισίστρατος μὲν οὖν ἐγκατεγήρασε τῇ ἀρχῇ, καὶ
ἀπέθανε νοσήσας ἐπὶ Φιλόνεω ἄρχοντος, ἀφ᾽ οὗ μὲν
κατέστη τὸ πρῶτον τύραννος, ἔτη τριάκοντα καὶ τρία
βιώσας, ἃ δ᾽ ἐν τῇ ἀρχῇ διέμεινεν, ἑνὸς δέοντα εἴκοσι·
11 ἔφευγε γὰρ τὰ λοιπά. τελευτήσαντος δὲ Πεισιστρά-
του κατεῖχον οἱ υἱεῖς τὴν ἀρχήν, προάγοντες τὰ
πράγματα τὸν αὐτὸν τρόπον. ἦσαν δὲ δύο μὲν ἐκ
τῆς γαμετῆς Ἱππίας καὶ Ἵππαρχος, δύο δ᾽ ἐκ τῆς
Ἀργείας Ἰοφῶν καὶ Ἡγησίστρατος, ᾧ παρωνύμιον ἦν
12 Θετταλός. ἐπέγημεν γὰρ Πεισίστρατος ἐξ Ἄργους ἀν-
δρὸς Ἀργείου θυγατέρα, ᾧ ὄνομ᾽ ἦν Γοργίλος, Τιμώ-

νασσαν, ἣν πρότερον ἔσχεν γυναῖκα Ἀρχῖνος ὁ Ἀμπρακιώτης τῶν Κυψελιδῶν· ὅθεν καὶ ἡ πρὸς τοὺς Ἀργείους ἐνέστη φιλία, καὶ συνεμαχέσαντο χίλιοι τὴν ἐπὶ Παλληνίδι μάχην, Ἡγησιστράτου κομίσαντος. γῆμαι δέ φασι τὴν Ἀργείαν οἱ μὲν ἐκπεσόντα τὸ πρῶτον, οἱ δὲ κατέχοντα τὴν ἀρχήν.

Ἦσαν δὲ κύριοι μὲν τῶν πραγμάτων διὰ τὰ ἀξιώ- 13
ματα καὶ διὰ τὰς ἡλικίας Ἵππαρχος καὶ Ἱππίας, πρεσβύτερος δὲ ὢν ὁ Ἱππίας καὶ τῇ φύσει πολιτικὸς καὶ ἔμφρων ἐπεστάτει τῆς ἀρχῆς. ὁ δὲ Ἵππαρχος παιδιώδης καὶ ἐρωτικὸς καὶ φιλόμουσος ἦν, καὶ τοὺς περὶ Ἀνακρέοντα καὶ Σιμωνίδην καὶ τοὺς ἄλλους ποιητὰς οὗτος ἦν ὁ μεταπεμπόμενος. Θετταλὸς δὲ νεώτερος 14
πολὺ καὶ τῷ βίῳ θρασὺς καὶ ὑβριστής, ἀφ' οὗ καὶ συνέβη τὴν ἀρχὴν αὐτοῖς γενέσθαι πάντων τῶν κακῶν. ἐρασθεὶς γὰρ τοῦ Ἁρμοδίου καὶ διαμαρτάνων τῆς πρὸς αὐτὸν φιλίας, οὐ κατεῖχε τὴν ὀργήν, ἀλλ' ἔν τε τοῖς ἄλλοις ἐνεσημαίνετο πικρῶς, καὶ τὸ τελευταῖον μέλλουσαν αὐτοῦ τὴν ἀδελφὴν κανηφορεῖν Παναθηναίοις ἐκώλυσεν, λοιδορήσας τι τὸν Ἁρμόδιον ὡς μαλακὸν ὄντα, ὅθεν συνέβη παροξυνθέντα τὸν Ἁρμόδιον καὶ τὸν Ἀριστογείτονα πράττειν τὴν πρᾶξιν μετεχόντων οὐ πολλῶν. ἤδη δὲ παρατηροῦντες ἐν ἀκροπόλει τοῖς 15
Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ οὗτος μὲν δεχόμενος, ὁ δ' Ἵππαρχος ἀποστέλλων τὴν πομπήν), ἰδόντες τινὰ τῶν κοινωνούντων τῆς πράξεως φιλανθρώπως ἐντυγχάνοντα τῷ Ἱππίᾳ, καὶ νομίσαντες μηνύειν, βουλόμενοί τι δρᾶσαι πρὸ τῆς συλλήψεως, καταβάντες καὶ προεξαναστάντες τῶν ἄλλων, τὸν μὲν Ἵππαρχον διακοσμοῦντα τὴν πομπὴν παρὰ τὸ Λεωκόρειον ἀπέκτειναν, τὴν δ' ὅλην ἐλυμήναντο πρᾶξιν,

αὐτῶν δ' ὁ μὲν Ἁρμόδιος εὐθέως ἐτελεύτησεν ὑπὸ
τῶν δορυφόρων, ὁ δ' Ἀριστογείτων ὕστερον, συλ-
16 ληφθεὶς καὶ πολὺν χρόνον αἰκισθείς. κατηγόρησεν
δ' ἐν ταῖς ἀνάγκαις πολλῶν, οἳ καὶ τῇ φύσει τῶν
ἐπιφανῶν καὶ φίλοι τοῖς τυράννοις ἦσαν. οὐ γὰρ
ἐδύναντο παραχρῆμα λαβεῖν οὐδὲν ἴχνος τῆς πράξεως,
ἀλλ' ὁ λεγόμενος λόγος, ὡς ὁ Ἱππίας ἀποστήσας ἀπὸ
τῶν ὅπλων τοὺς πομπεύοντας ἐφώρασε τοὺς τὰ ἐγχει-
ρίδια ἔχοντας, οὐκ ἀληθής ἐστιν· οὐ γὰρ ἔπεμπον
τότε μεθ' ὅπλων, ἀλλ' ὕστερον τοῦτο κατεσκεύασεν ὁ
17 δῆμος. κατηγόρει δὲ τῶν τοῦ τυράννου φίλων, ὡς
μὲν οἱ δημοτικοί φασιν ἐπίτηδες, ἵνα ἀσεβήσαιεν ἅμα
καὶ γένοιντο ἀσθενεῖς, ἀνελόντες τοὺς ἀναιτίους καὶ
φίλους ἑαυτῶν, ὡς δ' ἔνιοι λέγουσιν οὐχὶ πλαττόμενος,
18 ἀλλὰ τοὺς συνειδότας ἐμήνυεν. καὶ τέλος ὡς οὐκ
ἠδύνατο πάντα ποιῶν ἀποθανεῖν, ἐπαγγειλάμενος ὡς
ἄλλους μηνύσων πολλούς, καὶ πείσας αὐτῷ τὸν Ἱππίαν
δοῦναι τὴν δεξιὰν πίστεως χάριν, ὡς ἔλαβεν ὀνειδίσας
ὅτι τῷ φονεῖ τἀδελφοῦ τὴν δεξιὰν δέδωκε, οὕτω παρ-
ώξυνε τὸν Ἱππίαν, ὥσθ' ὑπὸ τῆς ὀργῆς οὐ κατέσχεν
ἑαυτόν, ἀλλὰ σπασάμενος τὴν μάχαιραν διέφθειρεν
αὐτόν.

19 Μετὰ δὲ ταῦτα συνέβαινεν πολλῷ τραχυτέραν εἶναι
τὴν τυραννίδα· καὶ γὰρ διὰ τὸ τιμωρῶν τἀδελφῷ πολ-
λοὺς ἀνῃρηκέναι καὶ ἐκβεβληκέναι πᾶσιν ἦν ἄπιστος
καὶ πικρός. ἔτει δὲ τετάρτῳ μάλιστα μετὰ τὸν Ἱππάρ-
χου θάνατον, ἐπεὶ κακῶς εἶχεν τὰ ἐν τῷ ἄστει, τὴν
Μουνιχίαν ἐπεχείρησε τειχίζειν, ὡς ἐκεῖσε μεθιδρυσό-
μενος. ἐν τούτοις δ' ὢν ἐξέπεσεν ὑπὸ Κλεομένους
τοῦ Λακεδαιμονίων βασιλέως, χρησμῶν γιγνομένων
ἀεὶ τοῖς Λάκωσι καταλύειν τὴν τυραννίδα διὰ τοιάνδ'

αἰτίαν. οἱ φυγάδες, ὧν οἱ Ἀλκμεωνίδαι προειστήκεσαν, 20
αὐτοὶ μὲν δι' αὐτῶν οὐκ ἠδύναντο ποιήσασθαι τὴν
κάθοδον, ἀλλ' αἰεὶ προσέπταιον· ἔν τε γὰρ τοῖς ἄλλοις
οἷς ἔπραττον διεσφάλλοντο, καὶ τειχίσαντες ἐν τῇ χώρᾳ
Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος, εἰς ὃ συνεξῆλθόν
τινες τῶν ἐκ τοῦ ἄστεως, ἐξεπολιορκήθησαν ὑπὸ τῶν
τυράννων, ὅθεν ὕστερον εἰς ταύτην τὴν συμφορὰν
ᾖδον ἐν τοῖς σκολιοῖς·

'Αἰαῖ Λειψύδριον προδωσέταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν οἵων πατέρων ἔσαν.'

ἀποτυγχάνοντες οὖν ἐν ἅπασι τοῖς ἄλλοις ἐμισθώσαντο 21
τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, ὅθεν εὐπόρησαν χρη-
μάτων καὶ ἀνέπεισαν τὴν Πυθίαν συνεργεῖν ἑαυτοῖς
πρὸς τὴν τῶν Λακώνων βοήθειαν. ἡ δὲ Πυθία προ-
έφερεν αἰεὶ τοῖς Λακεδαιμονίοις χρηστηριαζομένοις,
ἐλευθεροῦν τὰς Ἀθήνας, εἰς τοῦθ' ἕως προύτρεψε
τοὺς Σπαρτιάτας, καίπερ ὄντων ξένων αὐτοῖς τῶν
Πεισιστρατιδῶν· συνεβάλλετο δὲ οὐκ ἐλάττω μοῖραν
τῆς ὁρμῆς τοῖς Λάκωσιν ἡ πρὸς τοὺς Ἀργείους τοῖς
Πεισιστρατίδαις ὑπάρχουσα φιλία. τὸ μὲν οὖν πρῶ- 22
τον Ἀγχίμολον ἀπέστειλαν κατὰ θάλατταν ἔχοντα στρα-
τιάν· ἡττηθέντος δ' αὐτοῦ καὶ τελευτήσαντος, διὰ τὸ
Κινέαν βοηθῆσαι τὸν Θετταλὸν ἔχοντα χιλίους ἱππεῖς,
προσοργισθέντες τῷ γενομένῳ Κλεομένην ἐξέπεμψαν
τὸν βασιλέα στόλον ἔχοντα μείζω κατὰ γῆν, ὃς ἐπεὶ
τοὺς τῶν Θετταλῶν ἱππεῖς ἐνίκησεν κωλύοντας αὐτὸν
εἰς τὴν Ἀττικὴν παριέναι, κατακλήσας τὸν Ἱππίαν εἰς
τὸ καλούμενον Πελαργικὸν τεῖχος ἐπολιόρκει μετὰ
τῶν Ἀθηναίων. προσκαθημένου δ' αὐτοῦ, συνέπεσεν 23

ὑπεξιόντας ἁλῶναι τοὺς τῶν Πεισιστρατιδῶν υἱεῖς· ὧν ληφθέντων ὁμολογίαν ἐπὶ τῇ τῶν παίδων σωτηρίᾳ ποιησάμενοι, καὶ τὰ ἑαυτῶν ἐν πένθ' ἡμέραις ἐκκομισάμενοι, παρέδωκαν τὴν ἀκρόπολιν τοῖς Ἀθηναίοις ἐπὶ Ἁρπακτίδου ἄρχοντος, κατασχόντες τὴν τυραννίδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη μάλιστα ἑπτακαίδεκα, τὰ δὲ σύμπαντα σὺν οἷς ὁ πατὴρ ἦρξεν ἑνὸς δεῖ πεντήκοντα.

V. Clisthenes Atheniensium rem publicam legibus constituit (c. 20—22).

1 Καταλυθείσης τῆς τυραννίδος ἐστασίαζον πρὸς ἀλλήλους Ἰσαγόρας ὁ Τεισάνδρου φίλος ὢν τῶν τυράννων καὶ Κλεισθένης τοῦ γένους ὢν τῶν Ἀλκμεωνιδῶν. ἡττώμενος δὲ ταῖς ἑταιρείαις ὁ Κλεισθένης προσηγάγετο τὸν δῆμον, ἀποδιδοὺς τῷ πλήθει τὴν πολιτείαν.
2 ὁ δὲ Ἰσαγόρας ἐπιλειπόμενος τῇ δυνάμει, πάλιν ἐπικαλεσάμενος τὸν Κλεομένην ὄντα ἑαυτῷ ξένον συνέπεισεν ἐλαύνειν τὸ ἄγος, διὰ τὸ τοὺς Ἀλκμεωνίδας
3 δοκεῖν εἶναι τῶν ἐναγῶν. ὑπεξελθόντος δὲ τοῦ Κλεισθένους, ἀφικόμενος ὁ Κλεομένης μετ' ὀλίγων ἀγηλατεῖ τῶν Ἀθηναίων ἑπτακοσίας οἰκίας· ταῦτα δὲ διαπραξάμενος τὴν μὲν βουλὴν ἐπειρᾶτο καταλύειν, Ἰσαγόραν δὲ καὶ τριακοσίους τῶν φίλων μετ' αὐτοῦ
4 κυρίους καθιστάναι τῆς πόλεως. τῆς δὲ βουλῆς ἀντιστάσης καὶ συναθροισθέντος τοῦ πλήθους, οἱ μὲν περὶ τὸν Κλεομένην καὶ Ἰσαγόραν κατέφυγον εἰς τὴν ἀκρόπολιν, ὁ δὲ δῆμος δύο μὲν ἡμέρας προσκαθεζόμενος ἐπολιόρκει, τῇ δὲ τρίτῃ Κλεομένην μὲν καὶ τοὺς μετ' αὐτοῦ πάντας ἀφεῖσαν ὑποσπόνδους, Κλεισθένην
5 δὲ καὶ τοὺς ἄλλους φυγάδας μετεπέμψαντο. κατασχόντος δὲ τοῦ δήμου τὰ πράγματα, Κλεισθένης ἡγεμὼν

*ἦν καὶ τοῦ δήμου προστάτης. αἰτιώτατοι γὰρ σχεδὸν
ἐγένοντο τῆς ἐκβολῆς τῶν τυράννων οἱ Ἀλκμεωνίδαι,
καὶ στασιάζοντες πρὸς αὐτοὺς τὰ πολλὰ διετέλεσαν.
διὰ μὲν οὖν ταύτας τὰς αἰτίας ἐπίστευεν ὁ δῆμος τῷ* 6
*Κλεισθένει. τότε δὲ τοῦ πλήθους προεστηκώς, ἔτει
τετάρτῳ μετὰ τὴν τῶν τυράννων κατάλυσιν, ἐπὶ Ἰσα-
γόρου ἄρχοντος, πρῶτον μὲν συνένειμε πάντας εἰς
δέκα φυλὰς ἀντὶ τῶν τεττάρων, ἀναμεῖξαι βουλόμενος,
ὅπως μετάσχωσι πλείους τῆς πολιτείας· ἔπειτα τὴν* 7
*βουλὴν πεντακοσίους ἀντὶ τετρακοσίων κατέστησεν,
πεντήκοντα ἐξ ἑκάστης φυλῆς· τότε δ' ἦσαν ἑκατόν.
διὰ τοῦτο δὲ οὐκ εἰς δώδεκα φυλὰς συνέταξεν, ὅπως
αὐτῷ μὴ συμβαίνῃ μερίζειν κατὰ τὰς προϋπαρχούσας
τριττῦς· ἦσαν γὰρ ἐκ τεττάρων φυλῶν δώδεκα τριττύες·
ὥστ' οὐ συνέπιπτεν ἂν ἀναμίσγεσθαι τὸ πλῆθος. δι-* 8
*ένειμε δὲ καὶ τὴν χώραν κατὰ δήμους, τὰ δὲ πρῶτα τριά-
κοντα μέρη, δέκα μὲν τῶν περὶ τὸ ἄστυ, δέκα δὲ τῆς
παραλίας, δέκα δὲ τῆς μεσογείου, καὶ ταύτας ἐπονο-
μάσας τριττῦς, ἐκλήρωσεν τρεῖς εἰς τὴν φυλὴν ἑκά-
στην, ὅπως ἑκάστη μετέχῃ πάντων τῶν τόπων. καὶ
δημότας ἐποίησεν ἀλλήλων τοὺς οἰκοῦντας ἐν ἑκάστῳ
τῶν δήμων, ἵνα μὴ πατρόθεν προσαγορεύοντες ἐξ-
ελέγχωσιν τοὺς νεοπολίτας, ἀλλὰ τῶν δήμων ἀναγο-
ρεύωσιν· ὅθεν καὶ καλοῦσιν Ἀθηναῖοι σφᾶς αὐτοὺς
τῶν δήμων. κατέστησε δὲ καὶ δημάρχους, τὴν αὐτὴν* 9
*ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· καὶ γὰρ
τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησεν. προσηγό-
ρευσε δὲ τῶν δήμων τοὺς μὲν ἀπὸ τῶν τόπων, τοὺς
δὲ ἀπὸ τῶν κτισάντων· οὐ γὰρ ἅπαντες ὑπῆρχον ἐν
τοῖς τόποις. τὰ δὲ γένη καὶ τὰς φρατρίας καὶ τὰς
ἱερωσύνας εἴασεν ἔχειν ἑκάστους κατὰ τὰ πάτρια. ταῖς*

δὲ φυλαῖς ἐποίησεν ἐπωνύμους ἐκ τῶν προκριθέντων ἑκατὸν ἀρχηγετῶν, οὓς ἀνεῖλεν ἡ Πυθία δέκα. τούτων δὲ γενομένων δημοτικωτέρα πολὺ τῆς Σόλωνος ἐγένετο ἡ πολιτεία· καὶ γὰρ συνέβη τοὺς μὲν Σόλωνος νόμους ἀφανίσαι τὴν τυραννίδα διὰ τὸ μὴ χρῆσθαι, καινοὺς δ' ἄλλους θεῖναι τὸν Κλεισθένη στοχαζόμενον τοῦ πλήθους, ἐν οἷς ἐτέθη καὶ ὁ περὶ τοῦ ὀστρακισμοῦ νόμος.

VI. Atheniensium rei publicae qualis fuerit status, cum post bella Persarum Areopagus summa dignitate atque auctoritate uteretur (c. 23—25, 1).

1 *Μετὰ τὰ Μηδικὰ πάλιν ἴσχυσεν ἡ ἐν Ἀρείῳ πάγῳ
βουλὴ καὶ διῴκει τὴν πόλιν, οὐδενὶ δόγματι λαβοῦσα
τὴν ἡγεμονίαν, ἀλλὰ διὰ τὸ γενέσθαι τῆς περὶ Σαλα-
μῖνα ναυμαχίας αἰτία. τῶν γὰρ στρατηγῶν ἐξαπορη-
σάντων τοῖς πράγμασι καὶ κηρυξάντων σῴζειν ἕκαστον
ἑαυτόν, πορίσασα δραχμὰς ἑκάστῳ ὀκτὼ διέδωκε καὶ
2 ἐνεβίβασεν εἰς τὰς ναῦς. διὰ ταύτην δὴ τὴν αἰτίαν
παρεχώρουν αὐτῆς τῷ ἀξιώματι, καὶ ἐπολιτεύθησαν
Ἀθηναῖοι καλῶς κατὰ τούτους τοὺς καιρούς. συνέβη
γὰρ αὐτοῖς περὶ τὸν χρόνον τοῦτον τά τε εἰς τὸν πό-
λεμον ἀσκῆσαι καὶ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμῆσαι
καὶ τὴν τῆς θαλάττης ἡγεμονίαν λαβεῖν, ἀκόντων τῶν
3 Λακεδαιμονίων. ἦσαν δὲ προστάται τοῦ δήμου κατὰ
τούτους τοὺς καιροὺς Ἀριστείδης ὁ Λυσιμάχου καὶ
Θεμιστοκλῆς ὁ Νεοκλέους, ὁ μὲν τὰ πολέμια ἀσκῶν,
ὁ δὲ τὰ πολιτικὰ δεινὸς εἶναι δοκῶν καὶ δικαιοσύνῃ
τῶν καθ' ἑαυτὸν διαφέρειν· διὸ καὶ ἐχρῶντο τῷ μὲν
4 στρατηγῷ, τῷ δὲ συμβούλῳ. τὴν μὲν οὖν τῶν τειχῶν
ἀνοικοδόμησιν κοινῇ διῴκησαν, καίπερ διαφερόμενοι
πρὸς ἀλλήλους, ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν Ἰώνων*

ἀπὸ τῆς τῶν Λακεδαιμονίων συμμαχίας Ἀριστείδης ἦν
ὁ προτρέψας, τηρήσας τοὺς Λάκωνας διαβεβλημένους
διὰ Παυσανίαν. διὸ καὶ τοὺς φόρους οὗτος ἦν ὁ τά- 5
ξας ταῖς πόλεσιν τοὺς πρώτους, ἔτει τρίτῳ μετὰ τὴν
ἐν Σαλαμῖνι ναυμαχίαν, ἐπὶ Τιμοσθένους ἄρχοντος,
καὶ τοὺς ὅρκους ὤμοσε τοῖς Ἴωσιν, ὥστε τὸν αὐτὸν
ἐχθρὸν εἶναι καὶ φίλον, ἐφ' οἷς καὶ τοὺς μύδρους ἐν
τῷ πελάγει καθεῖσαν. μετὰ δὲ ταῦτα θαρρούσης ἤδη 6
τῆς πόλεως καὶ χρημάτων πολλῶν ἠθροισμένων συν-
εβούλευεν ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ κατα-
βάντας ἐκ τῶν ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει· τροφὴν γὰρ
ἔσεσθαι πᾶσι, τοῖς μὲν στρατευομένοις, τοῖς δὲ φρου-
ροῦσι, τοῖς δὲ τὰ κοινὰ πράττουσιν· εἶθ' οὕτω κατα-
σχήσειν τὴν ἡγεμονίαν. πεισθέντες δὲ ταῦτα καὶ λα- 7
βόντες τὴν ἀρχὴν τοῖς τε συμμάχοις δεσποτικωτέρως
ἐχρῶντο, πλὴν Χίων καὶ Λεσβίων καὶ Σαμίων· τού-
τους δὲ φύλακας εἶχον τῆς ἀρχῆς ἐῶντες τάς τε πολι-
τείας παρ' αὐτοῖς καὶ ἄρχειν ὧν ἔτυχον ἄρχοντες, καὶ
πόλεις οὐκ ὀλίγας ἀνθισταμένας βίᾳ καταστρεψάμενοι
κληρουχίαις κατελάμβανον. κατέστησαν δὲ καὶ τοῖς 8
πολλοῖς εὐπορίαν τροφῆς, ὥσπερ Ἀριστείδης εἰσηγή-
σατο. συνέβαινεν γὰρ ἀπὸ τῶν φόρων καὶ τῶν τελῶν
πλείους ἢ δισμυρίους ἄνδρας τρέφεσθαι. δικασταὶ μὲν
γὰρ ἦσαν ἑξακισχίλιοι, τοξόται δ' ἑξακόσιοι καὶ χίλιοι,
καὶ πρὸς τούτοις ἱππεῖς χίλιοι καὶ διακόσιοι, βουλὴ
δὲ πεντακόσιοι, καὶ φρουροὶ νεωρίων πεντακόσιοι, καὶ
πρὸς τούτοις ἐν πόλει φρουροὶ πεντήκοντα, ἀρχαὶ δ'
ἔνδημοι μὲν εἰς ἑπτακοσίους ἄνδρας, ὑπερόριοι δ' εἰς
ἑπτακοσίους· πρὸς δὲ τούτοις ἐπεὶ συνεστήσαντο τὸν 9
πόλεμον ὕστερον, ὁπλῖται μὲν δισχίλιοι καὶ πεντακό-
σιοι, νῆες δὲ φρουρίδες εἴκοσι, ἄλλαι δὲ νῆες αἱ τοὺς

φρουροὺς ἄγουσαι τοὺς ἀπὸ τοῦ κυάμου δισχιλίους ἄνδρας· ἔτι δὲ πρυτανεῖον καὶ ὀρφανοὶ καὶ δεσμωτῶν φύλακες· ἅπασι γὰρ τούτοις ἀπὸ τῶν κοινῶν ἡ διοίκησις ἦν. ἡ μὲν οὖν τροφὴ τῷ δήμῳ διὰ τούτων ἐγίγνετο. ἔτη δ' ἑπτακαίδεκα μάλιστα μετὰ τὰ Μηδικὰ διέμεινεν ἡ πολιτεία προεστώτων τῶν Ἀρεοπαγιτῶν.

VII. Aristotelis de Pericle deque eis qui illum usque ad Theramenem in re publica gubernanda secuti sunt iudicium (c. 27—28).

1 Μετὰ ταῦτα πρὸς τὸ δημαγωγεῖν ἐλθόντος Περι-
κλέους καὶ πρῶτον εὐδοκιμήσαντος, ὅτε κατηγόρησε
τὰς εὐθύνας Κίμωνος στρατηγοῦντος νέος ὤν, δημο-
τικωτέραν ἔτι συνέβη γενέσθαι τὴν πολιτείαν. καὶ
γὰρ τῶν Ἀρεοπαγιτῶν ἔνια παρείλετο καὶ μάλιστα
προύτρεψεν τὴν πόλιν ἐπὶ τὴν ναυτικὴν δύναμιν, ἐξ
ἧς συνέβη θαρρήσαντας τοὺς πολλοὺς ἅπασαν τὴν
2 πολιτείαν μᾶλλον ἄγειν εἰς αὑτούς. μετὰ δὲ τὴν ἐν
Σαλαμῖνι ναυμαχίαν ἑνὸς δεῖ πεντηκοστῷ ἔτει, ἐπὶ
Πυθοδώρου ἄρχοντος, ὁ πρὸς Πελοποννησίους ἐνέστη
πόλεμος, ἐν ᾧ κατακλησθεὶς ὁ δῆμος ἐν τῷ ἄστει καὶ
συνεθισθεὶς ἐν ταῖς στρατιαῖς μισθοφορεῖν τὰ μὲν
ἑκὼν τὰ δὲ ἄκων προῃρεῖτο τὴν πολιτείαν διοικεῖν
3 αὐτός. ἐποίησε δὲ καὶ μισθοφόρα τὰ δικαστήρια Περι-
κλῆς πρῶτος, ἀντιδημαγωγῶν πρὸς τὴν Κίμωνος εὐπο-
ρίαν. ὁ γὰρ Κίμων ἅτε τυραννικὴν ἔχων οὐσίαν πρῶ-
τον μὲν τὰς κοινὰς λῃτουργίας ἐλῃτούργει λαμπρῶς,
ἔπειτα τῶν δημοτῶν ἔτρεφε πολλούς· ἐξῆν γὰρ τῷ
βουλομένῳ Λακιαδῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐλ-
θόντι παρ' αὐτὸν ἔχειν τὰ μέτρια· ἔτι δὲ τὰ χωρία
πάντα ἄφρακτα ἦν, ὅπως ἐξῇ τῷ βουλομένῳ τῆς ὀπώ-

*καὶ πρῶτος ἐπὶ τοῦ βήματος ἀνέκραγε καὶ ἐλοιδορήσατο
καὶ περιζωσάμενος ἐδημηγόρησε, τῶν ἄλλων ἐν κόσμῳ
λεγόντων. εἶτα μετὰ τούτους τῶν μὲν ἑτέρων Θηρα-
μένης ὁ Ἅγνωνος, τοῦ δὲ δήμου Κλεοφῶν ὁ λυροποιός,
ὃς καὶ τὴν διωβελίαν ἐπόρισε πρῶτος· καὶ χρόνον μέν
τινα διεδίδοτο, μετὰ δὲ ταῦτα κατέλυσε Καλλικράτης
Παιανιεύς, πρῶτος ὑποσχόμενος ἐπιθήσειν πρὸς τοῖν
9 δυοῖν ὀβολοῖν ἄλλον ὀβολόν. τούτων μὲν οὖν ἀμφο-
τέρων θάνατον κατέγνωσαν ὕστερον· εἴωθεν γὰρ κἂν
ἐξαπατηθῇ τὸ πλῆθος, ὕστερον μισεῖν τούς τι προ-
αγαγόντας ποιεῖν αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων. ἀπὸ
δὲ Κλεοφῶντος ἤδη διεδέχοντο συνεχῶς τὴν δημαγω-
γίαν οἱ μάλιστα βουλόμενοι θρασύνεσθαι καὶ χαρίζε-
10 σθαι τοῖς πολλοῖς πρὸς τὰ παραυτίκα βλέποντες. δοκοῦσι
δὲ βέλτιστοι γεγονέναι τῶν Ἀθήνησι πολιτευσαμένων
μετὰ τοὺς ἀρχαίους Νικίας καὶ Θουκυδίδης καὶ Θηρα-
μένης. καὶ περὶ μὲν Νικίου καὶ Θουκυδίδου πάντες
σχεδὸν ὁμολογοῦσιν ἄνδρας γεγονέναι οὐ μόνον κα-
λοὺς κἀγαθούς, ἀλλὰ καὶ πολιτικοὺς καὶ τῇ πόλει
πάσῃ πατρικῶς χρωμένους, περὶ δὲ Θηραμένους ἀμ-
φισβήτησις τῆς κρίσεώς ἐστι. δοκεῖ μέντοι μὴ παρ-
έργως ἀποφαινομένοις οὐχ, ὥσπερ αὐτὸν διαβάλλουσι,
πάσας τὰς πολιτείας καταλύειν, ἀλλὰ πάσας προάγειν
ἕως μηδὲν παρανομοῖεν, ὡς δυνάμενος πολιτεύεσθαι
κατὰ πάσας, ὅπερ ἐστὶν ἀγαθοῦ πολίτου ἔργον, παρα-
νομούσαις δὲ οὐ συγχωρῶν, ἀλλ' ἀπεχθανόμενος.*

VIII. Triginta tyrannorum dominatio (c. 35—38, 1).

Post pugnam ad Aegos flumen anno 405 commissam Lysander urbe potitus anno 404 triginta rectores civitatis qui vocantur Athenis constituit.

1 *Οἱ μὲν οὖν τριάκοντα τοῦτον τὸν τρόπον κατέ-*

στησαν ἐπὶ Πυθοδώρου ἄρχοντος. γενόμενοι δὲ κύριοι
τῆς πόλεως τὰ μὲν ἄλλα τὰ δόξαντα περὶ τῆς πολι-
τείας παρεώρων, πεντακοσίους δὲ βουλευτὰς καὶ τὰς
ἄλλας ἀρχὰς καταστήσαντες ἐκ προκρίτων πεντακισχι-
λίων καὶ προσελόμενοι σφίσιν αὐτοῖς τοῦ Πειραιῶς
ἄρχοντας δέκα καὶ τοῦ δεσμωτηρίου φύλακας ἕνδεκα
καὶ μαστιγοφόρους τριακοσίους ὑπηρέτας, κατεῖχον τὴν
πόλιν δι' ἑαυτῶν. τὸ μὲν οὖν πρῶτον μέτριοι τοῖς 2
πολίταις ἦσαν καὶ προσεποιοῦντο διώκειν τὴν πάτριον
πολιτείαν, καὶ τούς τ' Ἐφιάλτου καὶ Ἀρχεστράτου νό-
μους τοὺς περὶ τῶν Ἀρεοπαγιτῶν καθεῖλον ἐξ Ἀρείου
πάγου καὶ τῶν Σόλωνος θεσμῶν, ὅσοι διαμφισβητή-
σεις εἶχον, καὶ τὸ κῦρος ὃ ἦν ἐν τοῖς δικασταῖς κατέ-
λυσαν, ὡς ἐπανορθοῦντες καὶ ποιοῦντες ἀναμφισβήτη-
τον τὴν πολιτείαν· οἷον τὸν περὶ τοῦ δοῦναι τὰ ἑαυ-
τοῦ ᾧ ἂν ἐθέλῃ κύριον ἐποίησαν καθάπαξ, τὰς δὲ
προσούσας δυσκολίας 'ἐὰν μὴ μανιῶν ἢ γηρῶν ἢ
γυναικὶ πιθόμενος' ἀφεῖλον, ὅπως μὴ ᾖ τοῖς συκο-
φάνταις ἔφοδος· ὁμοίως δὲ τοῦτ' ἔδρων καὶ ἐπὶ τῶν
ἄλλων. κατ' ἀρχὰς μὲν οὖν ταῦτ' ἐποίουν, καὶ τοὺς 3
συκοφάντας καὶ τοὺς τῷ δήμῳ πρὸς χάριν ὁμιλοῦντας
παρὰ τὸ βέλτιστον κακοπράγμονας ὄντας καὶ πονηροὺς
ἀνῄρουν, ἐφ' οἷς ἔχαιρεν ἡ πόλις γιγνομένοις ἡγού-
μενοι τοῦ βελτίστου χάριν ποιεῖν αὐτούς. ἐπεὶ δὲ τὴν 4
πόλιν ἐγκρατέστερον ἔσχον, οὐδενὸς ἀπείχοντο τῶν
πολιτῶν, ἀλλ' ἀπέκτεινον τοὺς καὶ ταῖς οὐσίαις καὶ
τῷ γένει καὶ τοῖς ἀξιώμασιν προέχοντας, ὑπεξαιρού-
μενοί τε τὸν φόβον καὶ βουλόμενοι τὰς οὐσίας διαρ-
πάξειν· καὶ χρόνου διαπεσόντος βραχέος οὐκ ἐλάττους
ἀνῃρήκεσαν ἢ χιλίους πεντακοσίους.

Οὕτως δὲ τῆς πόλεως ὑποφερομένης Θηραμένης 5

ἀγανακτῶν ἐπὶ τοῖς γιγνομένοις τῆς μὲν ἀσελγείας
αὐτοῖς παρῄνει παύσασθαι, μεταδοῦναι δὲ τῶν πραγμά-
των τοῖς βελτίστοις. οἱ δὲ πρῶτον ἐναντιωθέντες,
ἐπεὶ διεσπάρησαν οἱ λόγοι πρὸς τὸ πλῆθος καὶ πρὸς
τὸν Θηραμένην οἰκείως εἶχον οἱ πολλοί, φοβηθέντες,
μὴ προστάτης γενόμενος τοῦ δήμου καταλύσῃ τὴν
δυναστείαν, καταλέγουσιν τῶν πολιτῶν τρισχιλίους,
6 ὡς μεταδώσοντες τῆς πολιτείας. Θηραμένης δὲ πάλιν
ἐπιτιμᾷ καὶ τούτοις, πρῶτον μὲν ὅτι βουλόμενοι μετα-
δοῦναι τοῖς ἐπιεικέσι τρισχιλίοις μόνοις μεταδιδόασιν,
ὡς ἐν τούτῳ τῷ πλήθει τῆς ἀρετῆς ὡρισμένης, ἔπειθ'
ὅτι δύο τὰ ἐναντιώτατα ποιοῦσιν, βίαιόν τε τὴν ἀρχὴν
καὶ τῶν ἀρχομένων ἥττω κατασκευάζοντες. οἱ δὲ τού-
των μὲν ὠλιγώρησαν, τὸν δὲ κατάλογον τῶν τρισχι-
λίων πολὺν μὲν χρόνον ὑπερεβάλλοντο καὶ παρ' αὑτοῖς
ἐφύλαττον τοὺς ἐγνωσμένους· ὅτε δὲ καὶ δόξειεν αὐτοῖς
ἐκφέρειν, τοὺς μὲν ἐξήλειφον τῶν ἐγγεγραμμένων, τοὺς
δ' ἀντενέγραφον τῶν ἔξωθεν.

7 Ἤδη δὲ τοῦ χειμῶνος ἐνεστῶτος, καταλαβόντος
Θρασυβούλου μετὰ τῶν φυγάδων Φυλὴν καὶ κατὰ
τὴν στρατιὰν ἣν ἐξήγαγον οἱ τριάκοντα κακῶς ἀπο-
χωρήσαντες, ἔγνωσαν τῶν μὲν ἄλλων τὰ ὅπλα παρε-
λέσθαι, Θηραμένην δὲ διαφθεῖραι τόνδε τὸν τρόπον·
8 νόμους εἰσήνεγκαν εἰς τὴν βουλὴν δύο κελεύοντες ἐπι-
χειροτονεῖν, ὧν ὁ μὲν εἷς αὐτοκράτορας ἐποίει τοὺς
τριάκοντα, τῶν πολιτῶν ἀποκτεῖναι τοὺς μὴ τοῦ κατα-
λόγου μετέχοντας τῶν τρισχιλίων, ὁ δ' ἕτερος ἐκώλυε
κοινωνεῖν τῆς παρούσης πολιτείας, ὅσοι τυγχάνουσιν
τὸ ἐν Ἠετιωνείᾳ τεῖχος κατασκάψαντες ἢ τοῖς τετρα-
κοσίοις ἐναντίον τι πράξαντες, τοῖς κατασκευάσασι
9 τὴν προτέραν ὀλιγαρχίαν· ὧν ἐτύγχανεν ἀμφοτέρων

κεκοινωνηκὼς ὁ Θηραμένης, ὥστε συνέβαινεν ἐπικυρω-
θέντων τῶν νόμων ἔξω τε γίγνεσθαι τῆς πολιτείας
αὐτὸν καὶ τοὺς τριάκοντα κυρίους εἶναι θανατοῦντας.
ἀναιρεθέντος δὲ Θηραμένους τά τε ὅπλα παρείλοντο
πάντων πλὴν τῶν τρισχιλίων καὶ ἐν τοῖς ἄλλοις πολὺ
πρὸς ὠμότητα καὶ πονηρίαν ἐπέδοσαν. μετὰ δὲ ταῦτα 10
καταλαβόντων τῶν ἀπὸ Φυλῆς τὴν Μουνιχίαν καὶ
νικησάντων μάχῃ τοὺς μετὰ τῶν τριάκοντα βοηθή-
σαντας, ἐπαναχωρήσαντες μετὰ τὸν κίνδυνον οἱ ἐκ
τοῦ ἄστεως καὶ συναθροισθέντες εἰς τὴν ἀγορὰν τῇ
ὑστεραίᾳ τοὺς τριάκοντα κατέλυσαν.

IX. Athenienses etiam post bella Persarum optime rebus omnium Graecarum civitatum consuluerunt.

(Isocrat. Panegyr. § 100—109. cf. fasc. II p. 15.)

Μέχρι μὲν τούτων οἶδ' ὅτι πάντες ἂν ὁμολογή- 1
σειαν πλείστων ἀγαθῶν τὴν πόλιν τὴν ἡμετέραν αἰτίαν
γεγενῆσθαι καὶ δικαίως ἂν αὐτῆς τὴν ἡγεμονίαν εἶναι,
μετὰ δὲ ταῦτ' ἤδη τινὲς ἡμῶν κατηγοροῦσιν, ὡς ἐπει-
δὴ τὴν ἀρχὴν τῆς θαλάττης παρελάβομεν, πολλῶν
κακῶν αἴτιοι τοῖς Ἕλλησι κατέστημεν, καὶ τόν τε Μη-
λίων ἀνδραποδισμὸν καὶ τὸν Σκιωναίων ὄλεθρον ἐν
τούτοις τοῖς λόγοις ἡμῖν προφέρουσιν. ἐγὼ δ' ἡγοῦ- 2
μαι πρῶτον μὲν οὐδὲν εἶναι τοῦτο σημεῖον, ὡς κακῶς
ἤρχομεν, εἴ τινες τῶν πολεμησάντων ἡμῖν σφόδρα
φαίνονται κολασθέντες, ἀλλὰ πολὺ τόδε μεῖζον τεκμή-
ριον, ὡς καλῶς διῳκοῦμεν τὰ τῶν συμμάχων, ὅτι τῶν
πόλεων τῶν ὑφ' ἡμῖν οὐσῶν οὐδεμία ταύταις ταῖς
συμφοραῖς περιέπεσεν. ἔπειτ' εἰ μὲν ἄλλοι τινὲς τῶν 3
αὐτῶν πραγμάτων πρᾳότερον ἐπεμελήθησαν, εἰκότως
ἂν ἡμῖν ἐπιτιμῷεν· εἰ δὲ μήτε τοῦτο γέγονε μήθ'

οἷόν τ' ἐστὶ τοσούτων πόλεων τὸ πλῆθος κρατεῖν, ἣν
μή τις κολάζῃ τοὺς ἐξαμαρτάνοντας, πῶς οὐκ ἤδη δί-
καιόν ἐστιν ἡμᾶς ἐπαινεῖν, οἵτινες ἐλαχίστοις χαλεπή-
ναντες πλεῖστον χρόνον τὴν ἀρχὴν κατασχεῖν ἠδυνή-
4 θημεν; Οἶμαι δὲ πᾶσι δοκεῖν τούτους κρατίστους
προστάτας γενήσεσθαι τῶν Ἑλλήνων, ἐφ' ὧν οἱ πει-
θαρχήσαντες ἄριστα τυγχάνουσι πράξαντες. ἐπὶ τοί-
νυν τῆς ἡμετέρας ἡγεμονίας εὑρήσομεν καὶ τοὺς
οἴκους τοὺς ἰδίους πρὸς εὐδαιμονίαν πλεῖστον ἐπι-
5 δόντας καὶ τὰς πόλεις μεγίστας γενομένας. οὐ γὰρ
ἐφθονοῦμεν ταῖς αὐξανομέναις αὐτῶν, οὐδὲ ταραχὰς
ἐνεποιοῦμεν πολιτείας ἐναντίας παρακαθιστάντες, ἵν'
ἀλλήλοις μὲν στασιάζοιεν, ἡμᾶς δ' ἀμφότεροι θερα-
πεύοιεν, ἀλλὰ τὴν τῶν συμμάχων ὁμόνοιαν κοινὴν
ὠφέλειαν νομίζοντες τοῖς αὐτοῖς νόμοις ἁπάσας τὰς
πόλεις διῳκοῦμεν, συμμαχικῶς ἀλλ' οὐ δεσποτικῶς
βουλευόμενοι περὶ αὐτῶν, ὅλων μὲν τῶν πραγμάτων
ἐπιστατοῦντες, ἰδίᾳ δ' ἑκάστους ἐλευθέρους ἐῶντες
6 εἶναι, καὶ τῷ μὲν πλήθει βοηθοῦντες, ταῖς δὲ δυνα-
στείαις πολεμοῦντες, δεινὸν ἡγούμενοι τοὺς πολλοὺς
ὑπὸ τοῖς ὀλίγοις εἶναι, καὶ τοὺς ταῖς οὐσίαις ἐν-
δεεστέρους, τὰ δ' ἄλλα μηδὲν χείρους ὄντας ἀπελαύ-
νεσθαι τῶν ἀρχῶν, ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης
τοὺς μὲν τυραννεῖν, τοὺς δὲ μετοικεῖν, καὶ φύσει
πολίτας ὄντας νόμῳ τῆς πολιτείας ἀποστερεῖσθαι.
7 τοιαῦτ' ἔχοντες ταῖς ὀλιγαρχίαις ἐπιτιμᾶν καὶ πλείω
τούτων τὴν αὐτὴν πολιτείαν ἥνπερ παρ' ἡμῖν αὐτοῖς
καὶ παρὰ τοῖς ἄλλοις κατεστήσαμεν, ἣν οὐκ οἶδ' ὅ
τι δεῖ διὰ μακροτέρων ἐπαινεῖν, ἄλλως τε καὶ συν-
τόμως ἔχοντα δηλῶσαι περὶ αὐτῆς. μετὰ γὰρ ταύτης
οἰκοῦντες ἑβδομήκοντ' ἔτη διετέλεσαν ἄπειροι μὲν

τυραννίδων, ἐλεύθεροι δὲ πρὸς τοὺς βαρβάρους, ἀστα-
σίαστοι δὲ πρὸς σφᾶς αὐτούς, εἰρήνην δ' ἄγοντες
πρὸς πάντας ἀνθρώπους. ὑπὲρ ὧν προσήκει τοὺς εὖ 8
φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς
κληρουχίας ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημου-
μένας τῶν πόλεων φυλακῆς ἕνεκα τῶν χωρίων ἀλλ'
οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν. σημεῖον δὲ τούτων·
ἔχοντες γὰρ χώραν μὲν ὡς πρὸς τὸ πλῆθος τῶν πολι-
τῶν ἐλαχίστην, ἀρχὴν δὲ μεγίστην, καὶ κεκτημένοι
τριήρεις διπλασίας μὲν ἢ σύμπαντες, δυναμένας δὲ 9
πρὸς δὶς τοσαύτας κινδυνεύειν, ὑποκειμένης τῆς Εὐ-
βοίας ὑπὸ τὴν Ἀττικήν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν
τῆς θαλάττης εὐφυῶς εἶχε καὶ τὴν ἄλλην ἀρετὴν
ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλ-
λον ἢ τῆς ἡμετέρας αὐτῶν, καὶ πρὸς τούτοις εἰδότες
καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων τούτους μάλιστ'
εὐδοκιμοῦντας, ὅσοι τοὺς ὁμόρους ἀναστάτους ποιή-
σαντες ἄφθονον καὶ ῥᾴθυμον αὑτοῖς κατεστήσαντο
τὸν βίον, ὅμως οὐδὲν τούτων ἡμᾶς ἐπῆρε περὶ τοὺς
ἔχοντας τὴν νῆσον ἐξαμαρτεῖν, ἀλλὰ μόνοι δὴ τῶν 10
μεγάλην δύναμιν λαβόντων περιείδομεν ἡμᾶς αὐτοὺς
ἀπορωτέρως ζῶντας τῶν δουλεύειν αἰτίαν ἐχόντων.
καίτοι βουλόμενοι πλεονεκτεῖν οὐκ ἂν δή που τῆς
μὲν Σκιωναίων γῆς ἐπεθυμήσαμεν, ἣν Πλαταιέων
τοῖς ὡς ἡμᾶς καταφυγοῦσι φαινόμεθα παραδόντες,
τοσαύτην δὲ χώραν παρελίπομεν, ἣ πάντας ἂν ἡμᾶς
εὐπορωτέρους ἐποίησεν.

X. Alcibiades anno a. Chr. n. 408 Athenas revertitur.

(Xenoph. hist. Gr. I 4, 10—21. cf. fasc. II p. 41.)

Alcibiades postquam inde ab anno 415 Athenis afuit, a classiariis anno 411 Atheniensium classi praefectus Lacedaemonios ad Abydum et ad Cyzicum vicit, Chalcedonem, Byzantium, alias urbes anno 409 expugnavit; quibus rebus civium animis reconciliatis Athenas redire constituit. [(*λέγοντες*) *οἱ μέν* § 4 et *οἱ δέ* § 8 inter se respondent.]

1 *Οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο Ἀλκιβιάδην μὲν
φεύγοντα καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα δὲ τρί-
2 τον ἐκ τῶν οἴκοθεν. Ἀλκιβιάδης δ' ἐκ τῆς Σάμου
ἔχων ἃ συνέλεξε χρήματα κατέπλευσεν εἰς Πάρον ναυ-
σὶν εἴκοσιν, ἐκεῖθεν δ' ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ
κατασκοπὴν τῶν τριήρων, ἃς ἐπυνθάνετο Λακεδαιμο-
νίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε
3 κατάπλου ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει. ἐπεὶ δ' ἑώρα
ἑαυτῷ εὔνουν οὖσαν καὶ στρατηγὸν αὐτὸν ᾑρημένους
καὶ ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέ-
πλευσεν εἰς τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ
πόλις, τοῦ ἕδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς, ὅ
τινες οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ
πόλει. Ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ
4 οὐδενὸς σπουδαίου ἔργου τολμῆσαι ἂν ἅψασθαι. κατα-
πλέοντος δ' αὐτοῦ ὅ τε ἐκ τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ
ἄστεως ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες
καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες οἱ
μέν, ὡς κράτιστος εἴη τῶν πολιτῶν καὶ μόνος οὐ δι-
καίως φύγοι, ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκεί-
νου δυναμένων μοχθηρότερά τε λεγόντων καὶ πρὸς τὸ
αὑτῶν ἴδιον κέρδος πολιτευόντων, ἐκείνου ἀεὶ τὸ κοι-
νὸν αὔξοντος καὶ ἀπὸ τῶν αὑτοῦ καὶ ἀπὸ τῶν τῆς
5 Ol. 91,1 πόλεως· ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα τῆς
a. Chr. 415 αἰτίας ἄρτι γεγενημένης ὡς ἠσεβηκότος εἰς τὰ μυ-*

στήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δί-
καια εἶναι ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρίδος· ἐν 6
ᾧ χρόνῳ ὑπὸ ἀμηχανίας δουλεύων ἠναγκάσθη μὲν
θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ' ἑκά-
στην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους πολίτας
τε καὶ συγγενεῖς καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρ-
τάνουσαν, οὐκ εἶχεν ὅπως ὠφελοίη φυγῇ ἀπειργό-
μενος· οὐκ ἔφασαν δὲ τῶν οἵωνπερ αὐτὸς ὄντων εἶναι 7
καινῶν δεῖσθαι πραγμάτων οὐδὲ μεταστάσεως· ὑπάρ-
χειν γὰρ ἐκ τοῦ δήμου αὐτῷ μὲν τῶν τε ἡλικιωτῶν
πλέον ἔχειν τῶν τε πρεσβυτέρων μὴ ἐλαττοῦσθαι,
τοῖς δ' αὐτοῦ ἐχθροῖς τοιούτοις δοκεῖν εἶναι οἵοις
περιμένειν μὲν πρότερον, ὕστερον δὲ δυνασθεῖσιν
ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ μόνους λειφθέν-
τας δι' αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι
ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι· οἱ δέ, ὅτι τῶν 8
παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη, τῶν τε
φοβερῶν μελλόντων τῇ πόλει γίγνεσθαι μόνος κινδυ-
νεῦσαι ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ πρὸς τὴν 9
γῆν ὁρμισθεὶς ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος
τοὺς ἐχθρούς· ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος
ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν. κατι- 10
δὼν δὲ Εὐρυπτόλεμον τὸν Πεισιάνακτος, ἑαυτοῦ δὲ
ἀνεψιόν, καὶ τοὺς ἄλλους οἰκείους καὶ τοὺς φίλους
μετ' αὐτῶν, τότε ἀποβὰς ἀναβαίνει εἰς τὴν πόλιν μετὰ
τῶν παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν.
ἐν δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος, ὡς 11
οὐκ ἠσεβήκει, εἰπὼν δέ, ὡς ἠδίκηται, λεχθέντων δὲ
καὶ ἄλλων τοιούτων καὶ οὐδενὸς ἀντειπόντος διὰ τὸ
μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναρρηθεὶς ἁπάντων
ἡγεμὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προ-

X. Alcibiades anno a. Chr. n. 408 Athenas revertitur.

(Xenoph. hist. Gr. I 4, 10—21. cf. fasc. II p. 41.)

Alcibiades postquam inde ab anno 415 Athenis afuit, a classiariis anno 411 Atheniensium classi praefectus Lacedaemonios ad Abydum et ad Cyzicum vicit, Chalcedonem, Byzantium, alias urbes anno 409 expugnavit; quibus rebus civium animis reconciliatis Athenas redire constituit. [(*λέγοντες*) *οἱ μέν* § 4 et *οἱ δέ* § 8 inter se respondent.]

1 *Οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο Ἀλκιβιάδην μὲν
φεύγοντα καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα δὲ τρί-
2 τον ἐκ τῶν οἴκοθεν. Ἀλκιβιάδης δ' ἐκ τῆς Σάμου
ἔχων ἃ συνέλεξε χρήματα κατέπλευσεν εἰς Πάρον ναυ-
σὶν εἴκοσιν, ἐκεῖθεν δ' ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ
κατασκοπὴν τῶν τριήρων, ἃς ἐπυνθάνετο Λακεδαιμο-
νίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε
3 κατάπλου ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει. ἐπεὶ δ' ἑώρα
ἑαυτῷ εὔνουν οὖσαν καὶ στρατηγὸν αὐτὸν ᾑρημένους
καὶ ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέ-
πλευσεν εἰς τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ
πόλις, τοῦ ἕδους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς, ὅ
τινες οἰωνίζοντο ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ
πόλει. Ἀθηναίων γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ
4 οὐδενὸς σπουδαίου ἔργου τολμήσαι ἂν ἅψασθαι. κατα-
πλέοντος δ' αὐτοῦ ὅ τε ἐκ τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ
ἄστεως ὄχλος ἠθροίσθη πρὸς τὰς ναῦς, θαυμάζοντες
καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες οἱ
μέν, ὡς κράτιστος εἴη τῶν πολιτῶν καὶ μόνος οὐ δι-
καίως φύγοι, ἐπιβουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκεί-
νου δυναμένων μοχθηρότερά τε λεγόντων καὶ πρὸς τὸ
αὑτῶν ἴδιον κέρδος πολιτευόντων, ἐκείνου ἀεὶ τὸ κοι-
νὸν αὔξοντος καὶ ἀπὸ τῶν αὑτοῦ καὶ ἀπὸ τῶν τῆς
5 Ol. 91,1 πόλεως· ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα τῆς
a. Chr. 415 αἰτίας ἄρτι γεγενημένης ὡς ἠσεβηκότος εἰς τὰ μυ-*

στήρια, ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δί-
καια εἶναι ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρίδος· ἐν 6
ᾧ χρόνῳ ὑπὸ ἀμηχανίας δουλεύων ἠναγκάσθη μὲν
θεραπεύειν τοὺς ἐχθίστους, κινδυνεύων ἀεὶ παρ' ἑκά-
στην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους πολίτας
τε καὶ συγγενεῖς καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρ-
τάνουσαν, οὐκ εἶχεν ὅπως ὠφελοίη φυγῇ ἀπειργό-
μενος· οὐκ ἔφασαν δὲ τῶν οἵωνπερ αὐτὸς ὄντων εἶναι 7
καινῶν δεῖσθαι πραγμάτων οὐδὲ μεταστάσεως· ὑπάρ-
χειν γὰρ ἐκ τοῦ δήμου αὐτῷ μὲν τῶν τε ἡλικιωτῶν
πλέον ἔχειν τῶν τε πρεσβυτέρων μὴ ἐλαττοῦσθαι,
τοῖς δ' αὐτοῦ ἐχθροῖς τοιούτοις δοκεῖν εἶναι οἵοις
περιμένειν μὲν πρότερον, ὕστερον δὲ δυνασθεῖσιν
ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ μόνους λειφθέν-
τας δι' αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πολιτῶν, ὅτι
ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι· οἱ δέ, ὅτι τῶν 8
παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη, τῶν τε
φοβερῶν μελλόντων τῇ πόλει γίγνεσθαι μόνος κινδυ-
νεύσαι ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ πρὸς τὴν 9
γῆν ὁρμισθεὶς ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβούμενος
τοὺς ἐχθρούς· ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος
ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν. κατι- 10
δὼν δὲ Εὐρυπτόλεμον τὸν Πεισιάνακτος, ἑαυτοῦ δὲ
ἀνεψιόν, καὶ τοὺς ἄλλους οἰκείους καὶ τοὺς φίλους
μετ' αὐτῶν, τότε ἀποβὰς ἀναβαίνει εἰς τὴν πόλιν μετὰ
τῶν παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν.
ἐν δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος, ὡς 11
οὐκ ἠσεβήκει, εἰπὼν δέ, ὡς ἠδίκηται, λεχθέντων δὲ
καὶ ἄλλων τοιούτων καὶ οὐδενὸς ἀντειπόντος διὰ τὸ
μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναρρηθεὶς ἁπάντων
ἡγεμὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προ-

τέραν τῆς πόλεως δύναμιν, πρῶτον μὲν τὰ μυστήρια τῶν Ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον, κατὰ γῆν ἐποίησεν ἐξαγαγὼν τοὺς στρατιώτας
12 *ἅπαντας· μετὰ δὲ ταῦτα κατελέξατο στρατιάν, ὁπλίτας μὲν πεντακοσίους καὶ χιλίους, ἱππέας δὲ πεντήκοντα καὶ ἑκατόν, ναῦς δ' ἑκατόν. καὶ μετὰ τὸν κατάπλουν τετάρτῳ μηνὶ ἀνήχθη ἐπ' Ἄνδρον ἀφεστηκυῖαν τῶν Ἀθηναίων.*

XI. Critias et Theramenes.

Triginta viri sive tyranni a Lacedaemoniis anno a. Chr. n. 404 Athenis praepositi cum leges scribere deberent, summa licentia in civitate administranda et in magistratibus mandandis usi sunt atque adiuti praesidio Lacedaemone arcessito iam non improbos solum, sed etiam optimum quemque ac divitissimum et ex civibus et ex metoecis ad supplicium ducere coeperunt, tria milia civium in societatem imperii assumpserunt, reliquorum civium arma surripuerunt; quo factum est, ut discidium oreretur inter Critiam et Theramenem, eorum principes, cum ille adversariis extinguendis, hic adsciscendis potius amicis oligarchiam corroborandam esse censeret. cf. supra p. 24 sqq.

a. Critias in senatu Theramenem proditionis accusat.

(Xenoph. hist. Gr. II 3, 24—34. cf. fasc. II p. 41.)

1 *Ἐπεὶ δ' ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ* **Κριτίας** *ἔλεξεν ὧδε·*

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλείους τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω, ὅτι, ὅπου πολιτεῖαι μεθίστανται, πανταχοῦ ταῦτα γίγνεται· πλείστους δὲ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρό-
2 *νον ἐν ἐλευθερίᾳ τὸν δῆμον τεθράφθαι. ἡμεῖς δὲ γνόντες μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν*

πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δέ, ὅτι Λακε-
δαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ'
ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ δια-
τελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε
τὴν πολιτείαν καθίσταμεν. καὶ ἐάν τινα αἰσθανώμεθα 3
ἐναντίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποι-
ούμεθα· πολὺ δὲ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ
τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δί-
κην αὐτὸν διδόναι. νῦν οὖν αἰσθανόμεθα Θηραμένην 4
τουτονὶ οἷς δύναται ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς.
ὡς δὲ ταῦτα ἀληθῆ, ἂν κατανοῆτε, εὑρήσετε οὔτε
ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρ-
όντα οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώ-
μεθα ποιήσασθαι τῶν δημαγωγῶν. εἰ μὲν τοίνυν ἐξ
ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι
πονηρός γ' ἂν δικαίως ἐνομίζετο· νῦν δὲ αὐτὸς μὲν 5
ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ φιλίας,
αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξ-
ορμήσας ὑμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δί-
κην ἐπιτιθέναι, νῦν, ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς
ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα
ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ,
ἡμεῖς δὲ δίκην δῶμεν τῶν πεπραγμένων. ὥστε οὐ 6
μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει ἀλλὰ καὶ ὡς προδότῃ
ὑμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. καίτοι τοσούτῳ
μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον
φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον,
ὅσῳ πολεμίοις μὲν ἄνθρωποι καὶ σπένδονται καὶ αὖθις
πιστοὶ γίγνονται, ὃν δ' ἂν προδιδόντα λαμβάνωσι,
τούτῳ οὔτε ἐσπείσατο πώποτε οὐδεὶς οὔτ' ἐπίστευσε
τοῦ λοιποῦ. ἵνα δὲ εἰδῆτε, ὅτι οὐ καινὰ ταῦτα οὗτος 7

ποιεῖ, ἀλλὰ φύσει προδότης ἐστίν, ἀναμνήσω ὑμᾶς τὰ
τούτῳ πεπραγμένα. οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώ-
μενος ὑπὸ τοῦ δήμου κατὰ τὸν πατέρα Ἅγνωνα, προ-
πετέστατος ἐγένετο τὴν δημοκρατίαν μεταστῆσαι εἰς
τοὺς τετρακοσίους, καὶ ἐπρώτευεν ἐν ἐκείνοις. ἐπεὶ
δ' ᾔσθετο ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ συνιστάμενον,
πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ' ἐκείνους ἐγένετο·
8 ὅθεν δήπου καὶ κόθορνος ἐπικαλεῖται. δεῖ δέ, ὦ
Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προάγειν μὲν
δεινὸν εἶναι εἰς πράγματα τοὺς συνόντας, ἂν δέ τι
ἀντικόπτῃ, εὐθὺς μεταβάλλεσθαι, ἀλλ' ὥσπερ ἐν νηὶ
διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν· εἰ δὲ μή,
πῶς ἂν ἀφίκοιντό ποτε ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀντι-
9 κόψῃ, εὐθὺς εἰς τἀναντία πλέοιεν; καὶ εἰσὶ μὲν δήπου
πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ
τὸ εὐμετάβολος εἶναι πλείστοις μὲν μεταίτιος εἶ ἐξ
ὀλιγαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ'
ἐκ δημοκρατίας ὑπὸ τῶν βελτιόνων. οὗτος δέ τοί ἐστιν,
ὃς καὶ ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς
Ol. 93, 3 a. Chr. 406 καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ
αὐτὸς οὐκ ἀνελόμενος ὅμως τῶν στρατηγῶν κατηγορῶν
10 ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς περισωθείη. ὅστις γε
μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελό-
μενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπό-
μενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δὲ οὐ
φυλάξασθαι, εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ
ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; ἡμεῖς οὖν τοῦτον ὑπά-
γομεν καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς
τε καὶ ὑμᾶς. ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοή-
11 σατε. καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι
ἡ Λακεδαιμονίων· εἰ δ' ἐν ἐκείνῃ ἐπιχειρήσειέ τις τῶν

ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; καὶ ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου, ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε, ὡς οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν, ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.'

b. Theramenes in senatu a Critia proditionis accusatus ita se defendit, ut illum potius contra oligarchiam fecisse demonstret.

(Xenoph. hist. Gr. II 3, 35—49. res continuatur eis, quae exstant in fasc. IV p. 49. cf. fasc. II p. 41.)

Κριτίας μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ 1
ἀναστὰς ἔλεξεν· 'Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. ἐγὼ δὲ οὐκ ἦρχον δήπου τοῦ κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν, προσταχθέν μοι ὑφ' ἑαυτῶν, οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. ἐγὼ Ol. 93, 3 a. Chr. 406
δὲ ἀπολογούμενος, ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν, ἐκεῖνοι δ' ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. φάσκοντες γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι αὐτοὺς ἀπολέσθαι ἀποπλέοντες ᾤχοντο. οὐ μέντοι θαυμάζω γε τὸ Κριτίαν παρα- 2
νενομικέναι· ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. ὧν μὲν οὖν οὗτος ἐκεῖ ἔπραττε, μηδὲν ἐνθάδε γένοιτο· 3

τάδε γε μέντοι ὁμολογῶ ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν
τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας
ὑμῖν ἰσχυροὺς ποιεῖ, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν
τιμωρίας τυγχάνειν· ὅστις μέντοι ὁ ταῦτα πράττων
ἐστίν, οἴομαι ἂν ὑμᾶς κάλλιστα κρίνειν, τά τε πε-
πραγμένα καὶ ἃ νῦν πράττει ἕκαστος ἡμῶν εἰ κατα-
4 νοήσετε. οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς τε καταστῆναι
εἰς τὴν βουλείαν καὶ ἀρχὰς ἀποδειχθῆναι καὶ τοὺς
ὁμολογουμένως συκοφάντας ὑπάγεσθαι πάντες ταὐτὰ
ἐγιγνώσκομεν· ἐπεὶ δέ γε οὗτοι ἤρξαντο ἄνδρας κα-
λούς τε κἀγαθοὺς συλλαμβάνειν, ἐκ τούτου κἀγὼ
5 ἠρξάμην τἀναντία τούτοις γιγνώσκειν. ᾔδειν γάρ, ὅτι
ἀποθνήσκοντος μὲν Λέοντος τοῦ Σαλαμινίου, ἀνδρὸς
καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι, ἀδικοῦντος δ'
οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο, φοβούμενοι δὲ
ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο· ἐγίγνωσκον δέ, ὅτι
συλλαμβανομένου Νικηράτου τοῦ Νικίου, καὶ πλου-
σίου καὶ οὐδὲν πώποτε δημοτικὸν οὔτε αὐτοῦ οὔτε
τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ ὅμοιοι δυσμενεῖς
6 ἡμῖν γενήσοιντο. ἀλλὰ μὴν καὶ Ἀντιφῶντος ὑφ' ἡμῶν
ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ δύο τριήρεις εὖ πλε-
ούσας παρείχετο, ἠπιστάμην, ὅτι καὶ οἱ πρόθυμοι τῇ
πόλει γεγενημένοι πάντες ὑπόπτως ἡμῖν ἕξοιεν. ἀντ-
εῖπον δὲ καὶ ὅτε τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν
ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν, ὅτι τούτων ἀπολο-
μένων καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι τῇ πολιτείᾳ
7 ἔσοιντο. ἀντεῖπον δὲ καὶ ὅτε τὰ ὅπλα τοῦ πλήθους
παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν
ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων τούτου
ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλίγοι γενό-
μενοι μηδὲν δυναίμεθ' αὐτοὺς ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς,

εἰ τούτου γ' ἐδέοντο, καὶ μηδένα λιπεῖν ὀλίγον ἔτι
χρόνον τῷ λιμῷ πιέσαντας. οὐδέ γε τὸ φρουροὺς 8
μισθοῦσθαι συνήρεσκέ μοι, ἐξὸν αὐτῶν τῶν πολιτῶν
τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως ἐμέλλομεν οἱ
ἄρχοντες τῶν ἀρχομένων κρατήσειν. ἐπεί γε μὴν πολ-
λοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμενεῖς,
πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει μοι
οὔτε Θρασύβουλον οὔτε Ἄνυτον οὔτε Ἀλκιβιάδην
φυγαδεύειν· ᾔδειν γάρ, ὅτι οὕτω γε τὸ ἀντίπαλον
ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ
προσγενήσοιντο, τοῖς δ' ἡγεῖσθαι βουλομένοις σύμμα-
χοι πολλοὶ φανήσοιντο. ὁ ταῦτα οὖν νουθετῶν ἐν 9
τῷ φανερῷ πότερα εὐμενὴς ἂν δικαίως ἢ προδότης
νομίζοιτο; οὐχ οἱ ἐχθρούς, ὦ Κριτία, κωλύοντες πολ-
λοὺς ποιεῖσθαι, οὐδ' οἱ συμμάχους πλείστους διδά-
σκοντες κτᾶσθαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς
ποιοῦσιν, ἀλλὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα
ἀφαιρούμενοι καὶ τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνον-
τες, οὗτοί εἰσιν οἱ καὶ πολλοὺς τοὺς ἐναντίους ποι-
οῦντες καὶ προδιδόντες οὐ μόνον τοὺς φίλους, ἀλλὰ
καὶ ἑαυτοὺς δι' αἰσχροκέρδειαν. εἰ δὲ μὴ ἄλλως γνω- 10
στόν, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε. πότερον
οἴεσθε Θρασύβουλον καὶ Ἄνυτον καὶ τοὺς ἄλλους
φυγάδας ἃ ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βούλεσθαι
γίγνεσθαι ἢ ἃ οὗτοι πράττουσιν; ἐγὼ μὲν γὰρ οἶμαι
νῦν μὲν αὐτοὺς νομίζειν συμμάχων πάντα μεστὰ εἶναι·
εἰ δὲ τὸ κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν εἶχε,
χαλεπὸν ἂν ἡγεῖσθαι εἶναι καὶ τὸ ἐπιβαίνειν ποι τῆς
χώρας. ἃ δ' αὖ εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε 11
μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. τὴν μὲν γὰρ
ἐπὶ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ

δῆμος ἐψηφίσατο, διδασκόμενος, ὡς οἱ *Λακεδαιμόνιοι*
πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημοκρατίᾳ πιστεύσειαν.
12 ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ
Ἀριστοτέλην καὶ *Μελάνθιον* καὶ *Ἀρίσταρχον* στρατη-
γοῦντες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχί-
ζοντες, εἰς ὃ τοὺς πολεμίους δεξάμενοι ἐβούλοντο ὑφ'
αὑτοῖς καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ
ταῦτ' αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ' ἔστι προδότην
13 εἶναι τῶν φίλων; ἀποκαλεῖ δὲ κόθορνόν με, ὡς ἀμφο-
τέροις πειρώμενον ἁρμόττειν. ὅστις δὲ μηδετέροις ἀρέ-
σκει, τοῦτον, ὦ πρὸς τῶν θεῶν, τί ποτε καὶ καλέσαι
χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισο-
δημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων
14 μισοχρηστότατος γεγένησαι. ἐγὼ δ', ὦ *Κριτία*, ἐκεί-
νοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ πρόσθεν οἰομένοις
καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν καὶ οἱ δοῦλοι καὶ
οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν
αὐτῆς μετέχοιεν, καὶ τοῖσδε δ' αὖ ἀεὶ ἐναντίος εἰμί,
οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν
εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πόλιν καταστή-
σειαν. τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ' ἵππων
καὶ μετ' ἀσπίδων ὠφελεῖν διατάττειν τὴν πολιτείαν
πρόσθεν ἄριστον ἡγούμην εἶναι καὶ νῦν οὐ μεταβάλ-
15 λομαι. εἰ δ' ἔχεις εἰπεῖν, ὦ *Κριτία*, ὅπου ἐγὼ σὺν
τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλούς τε κἀγα-
θοὺς ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ
ἐλεγχθῶ ἢ νῦν ταῦτα πράττων ἢ πρότερον πώποτε
πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἔσχατα παθὼν ἂν
δικαίως ἀποθνῄσκειν.'

XII. Lacedaemonii anno a. Chr. n. 379 Thebis depelluntur.

(Xenoph. hist. Gr. V 4, 1—12. cf. fasc. II p. 41.)

Phoebidas Lacedaemonius anno a. Chr. n. 382 cum exercitu contra Olynthios profectus Leontiade nec non Archia et Philippo, principibus oligarchorum Thebanorum, invitantibus arcem Thebarum occupavit, quo facto trecenti fere ex popularibus Athenas confugerunt.

Πολλὰ μὲν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ 1
Ἑλληνικὰ καὶ βαρβαρικά, ὡς θεοὶ οὔτε τῶν ἀσεβούν-
των οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι· νῦν γε
μὴν λέξω τὰ προκείμενα. Λακεδαιμόνιοί τε γὰρ οἱ
ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις τὴν ἐν Θή-
βαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνων τῶν
ἀδικηθέντων ἐκολάσθησαν, πρότερον οὐδ' ὑφ' ἑνὸς
τῶν πώποτε ἀνθρώπων κρατηθέντες, τούς τε τῶν πο-
λιτῶν εἰσαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς καὶ
βουληθέντας Λακεδαιμονίοις δουλεύειν τὴν πόλιν, ὥστε
αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν ἑπτὰ μόνον τῶν
φυγόντων ἤρκεσαν καταλῦσαι. ὡς δὲ τοῦτ' ἐγένετο,
διηγήσομαι.

Ἦν τις Φιλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ Ἀρχίαν 2
πολεμάρχοις καὶ τἆλλα ὑπηρέτει, ὡς ἐδόκει, ἄριστα.
τούτῳ δ' ἀφιγμένῳ Ἀθήναζε κατὰ πρᾶξίν τινα καὶ
πρόσθεν γνώριμος ὢν Μέλων τῶν Ἀθήναζε πεφευγό-
των Θηβαίων συγγίγνεται, καὶ διαπυθόμενος μὲν τὰ
περὶ Ἀρχίαν τε τὸν πολεμαρχοῦντα καὶ τὴν περὶ Φί-
λιππον τυραννίδα, γνοὺς δὲ μισοῦντα αὐτὸν ἔτι μᾶλλον
αὐτοῦ τὰ οἴκοι, πιστὰ δοὺς καὶ λαβὼν συνέθετο, ὡς
δεῖ ἕκαστα γίγνεσθαι. ἐκ δὲ τούτου προσλαβὼν ὁ Μέ- 3
λων ἓξ τοὺς ἐπιτηδειοτάτους τῶν φευγόντων ξιφίδια
ἔχοντας καὶ ἄλλο ὅπλον οὐδέν, ἔρχεται πρῶτον μὲν

εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ ἡμερεύσαντες ἔν τινι
τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς δὴ ἐξ ἀγροῦ
ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων ὀψιαίτατοι. ἐπεὶ
δ' εἰσῆλθον εἰς τὴν πόλιν, διενυκτέρευσαν μὲν ἐκείνην
τὴν νύκτα παρὰ Χάρωνί τινι, καὶ τὴν ἐπιοῦσαν δὲ
4 ἡμέραν διημέρευσαν. ὁ μὲν οὖν Φιλλίδας τά τε ἄλλα
ἐπεμελεῖτο τοῖς πολεμάρχοις, ὡς Ἀφροδίσια ἄγουσιν
ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ γυναῖκας πάλαι ὑπι-
σχνούμενος ἄξειν αὐτοῖς τὰς σεμνοτάτας καὶ καλλίστας
τῶν ἐν Θήβαις, τότε ἔφη ἄξειν. οἱ δέ — ἦσαν γὰρ
τοιοῦτοι — μάλα ἡδέως προσεδέχοντο νυκτερεύειν.
5 ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπροθυμουμένου ἐκείνου
ταχὺ ἐμεθύσθησαν, πάλαι κελευόντων ἄγειν τὰς ἑταί-
ρας, ἐξελθὼν ἤγαγε τοὺς περὶ Μέλωνα, τρεῖς μὲν
στείλας ὡς δεσποίνας, τοὺς δὲ ἄλλους ὡς θεραπαίνας.
6 κἀκείνους μὲν εἰσήγαγεν εἰς τὸ ταμιεῖον τοῦ πολε-
μαρχείου, αὐτὸς δ' εἰσελθὼν εἶπε τοῖς περὶ Ἀρχίαν,
ὅτι οὐκ ἄν φασιν εἰσελθεῖν αἱ γυναῖκες, εἴ τις τῶν
διακόνων ἔνδον ἔσοιτο. ἔνθεν οἱ μὲν ταχὺ ἐκέλευον
πάντας ἐξιέναι, ὁ δὲ Φιλλίδας δοὺς οἶνον εἰς ἑνὸς
τῶν διακόνων ἐξέπεμψεν αὐτούς. ἐκ δὲ τούτου εἰσ-
ήγαγε τὰς ἑταίρας δὴ καὶ ἐκάθιξε παρ' ἑκάστῳ. ἦν δὲ
σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνακαλυψαμέ-
7 νους. οἱ μὲν δὴ οὕτω λέγουσιν αὐτοὺς ἀποθανεῖν, οἱ
δὲ καὶ ὡς κωμαστὰς εἰσελθόντας τοὺς ἀμφὶ Μέλωνα
ἀποκτεῖναι τοὺς πολεμάρχους. λαβὼν δὲ ὁ Φιλλίδας
τρεῖς αὐτῶν ἐπορεύετο ἐπὶ τὴν τοῦ Λεοντιάδου οἰκίαν·
κόψας δὲ τὴν θύραν εἶπεν, ὅτι παρὰ τῶν πολεμάρχων
ἀπαγγεῖλαί τι βούλοιτο. ὁ δὲ ἐτύγχανε μὲν χωρὶς
κατακείμενος ἔτι μετὰ δεῖπνον, καὶ ἡ γυνὴ ἐριουρ-
γοῦσα παρεκάθητο. ἐκέλευσε δὲ τὸν Φιλλίδαν πιστὸν

νομίζων εἰσιέναι. οἱ δ' ἐπεὶ εἰσῆλθον, τὸν μὲν ἀπ-
έκτειναν, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν.
ἐξιόντες δὲ εἶπον τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λή-
ψονται ἀνεφγμένην, ἠπείλησαν ἀποκτεῖναι ἅπαντας
τοὺς ἐν τῇ οἰκίᾳ. ἐπεὶ δὲ ταῦτα ἐπέπρακτο, λαβὼν 8
δύο ὁ Φιλλίδας τῶν ἀνδρῶν ἦλθε πρὸς τὸ ἀνάκειον
καὶ εἶπε τῷ εἱργμοφύλακι, ὅτι ἄνδρα ἄγοι παρὰ τῶν
πολεμάρχων, ὃν εἶρξαι δέοι. ὡς δὲ ἀνέῳξε, τοῦτον
μὲν εὐθὺς ἀπέκτειναν, τοὺς δὲ δεσμώτας ἔλυσαν. καὶ
τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες
ὥπλισαν, καὶ ἀγαγόντες ἐπὶ τὸ Ἀμφεῖον θέσθαι ἐκέ-
λευον τὰ ὅπλα. ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον ἐξιέναι 9
πάντας Θηβαίους, ἱππέας τε καὶ ὁπλίτας, ὡς τῶν
τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν,
ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δ' ἡμέρα τ' ἦν καὶ
φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται
καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν
δ' ἱππέας οἱ κατεληλυθότες καὶ ἐπὶ τοὺς δύο τῶν
Ἀθηναίων στρατηγοὺς τοὺς πρὸς τοῖς ὁρίοις. οἱ δ'
εἰδότες τὸ πρᾶγμα, ἐφ' ὃ ἀπεστάλκεσαν, ἐπῆσαν. ὁ μέν- 10
τοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς ἐπεὶ ᾔσθετο τὸ νυκτερι-
νὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς Πλαταιὰς καὶ Θεσπιὰς
ἐπὶ βοήθειαν. καὶ τοὺς μὲν Πλαταιᾶς αἰσθόμενοι
προσιόντας οἱ τῶν Θηβαίων ἱππεῖς, ἀπαντήσαντες
ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ εἰσῆλθον
ταῦτα πράξαντες καὶ οἱ Ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη
παρῆσαν, προσέβαλον πρὸς τὴν ἀκρόπολιν. ὡς δὲ ἔγνω- 11
σαν τοῦτο οἱ ἐν τῇ ἀκροπόλει ὀλίγοι ὄντες τήν τε προθυ-
μίαν τῶν προσιόντων ἁπάντων ἑώρων, τῶν κηρυγμάτων
μεγάλων γιγνομένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτων
φοβηθέντες εἶπον, ὅτι ἀπίοιεν ἄν, εἰ σφίσιν ἀσφάλειαν

μετὰ τῶν ὅπλων ἀπιοῦσι διδοῖεν. οἱ δὲ ἄσμενοί τε ἔδοσαν ἃ ᾔτουν, καὶ σπεισάμενοι καὶ ὅρκους ὀμόσαντες
12 ἐπὶ τούτοις ἐξέπεμπον. ἐξιόντων μέντοι, ὅσους ἐπέγνωσαν τῶν ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν δέ τινες οἳ καὶ ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων ἐπιβοηθησάντων ἐξεκλάπησαν καὶ διεσώθησαν. οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων, ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.

XIII. Thebarum excidium (Ol. 111, 2 a. Chr. 335) quantum et quale fuerit, collatis aliis quibusdam Graecarum civitatum calamitatibus demonstratur.

(Arrian. Anab. I 9. cf. fasc. IV p. 53.)

1 Πάθος τοῦτο Ἑλληνικὸν μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ καὶ τῷ παραλόγῳ ἔς τε τοὺς παθόντας καὶ τοὺς δράσαντας, οὐ μεῖόν τι τοὺς ἄλλους Ἕλληνας ἢ καὶ αὐτοὺς τοὺς
2 Ol. 91, 4 a. Chr. 413 μετασχόντας τοῦ ἔργου ἐξέπληξε. τὰ μὲν γὰρ περὶ Σικελίαν Ἀθηναίοις ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομένων οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἤνεγκεν, ἀλλὰ τῷ τε πόρρω ἀπὸ τῆς οἰκείας διαφθαρῆναι αὐτοῖς τὸν στρατόν, καὶ τὸν πολὺν ξυμμαχικὸν μᾶλλον ἢ οἰκεῖον ὄντα, καὶ τῷ τὴν πόλιν αὐτοῖς περιλειφθῆναι, ὡς καὶ ἐς ὕστερον ἐπὶ πολὺ τῷ πολέμῳ ἀντισχεῖν Λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ μεγάλῳ βασιλεῖ πολεμοῦντας, οὔτε αὐτοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς ξυμφορᾶς προσέθηκεν, οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε.
3 Ol. 93, 4 a. Chr. 405 καὶ τὸ ἐν Αἰγὸς ποταμοῖς αὖθις Ἀθηναίων πταῖσμα ναυτικόν τε ἦν καὶ ἡ πόλις οὐδὲν ἄλλο ὅτι μὴ τῶν μακρῶν τειχῶν καθαιρέσει καὶ νεῶν τῶν πολλῶν παρα-

δόσει καὶ στερήσει τῆς ἀρχῆς ἐς ταπεινότητα ἀφικομένη τό τε σχῆμα τὸ πάτριον ὅμως ἐφύλαξε καὶ τὴν δύναμιν οὐ διὰ μακροῦ τὴν πάλαι ἀνέλαβεν, ὥς τά τε μακρὰ τείχη ἐκτειχίσαι καὶ τῆς θαλάσσης αὖθις ἐπικρατῆσαι καὶ τοὺς τότε φοβεροὺς σφισι Λακεδαιμονίους καὶ παρ' ὀλίγον ἐλθόντας ἀφανίσαι τὴν πόλιν αὐτοὺς ἐν τῷ μέρει ἐκ τῶν ἐσχάτων κινδύνων διασώσασθαι. Λακεδαιμονίων τε αὖ τὸ κατὰ Λεῦκτρα καὶ 4 *Μαντίνειαν πταῖσμα τῷ παραλόγῳ μᾶλλόν τι τῆς ξυμφορᾶς ἢ τῷ πλήθει τῶν ἀπολομένων τοὺς Λακεδαιμονίους ἐξέπληξεν· ἥ τε ξὺν Ἐπαμεινώνδᾳ Βοιωτῶν καὶ Ἀρκάδων γενομένη προσβολὴ πρὸς τὴν Σπάρτην καὶ αὐτὴ τῷ ἀήθει τῆς ὄψεως μᾶλλον ἢ τῇ ἀκριβείᾳ τῶν κινδύνων αὐτούς τε τοὺς Λακεδαιμονίους καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε πραγμάτων ἐφόβησεν. ἡ δὲ δὴ Πλαταιέων ἅλωσις τῆς πόλεως τῇ σμικρότητι* 5 Ol. 88, 2 a. Chr. 427 *τῶν ἐγκαταληφθέντων, ὅτι οἱ πολλοὶ αὐτῶν διαπεφεύγεσαν πάλαι ἐς τὰς Ἀθήνας, οὐ μέγα πάθημα ἐγένετο. καὶ ἡ Μήλου καὶ Σκιώνης ἅλωσις, νησιωτικά τε πολίσματα ἦν καὶ τοῖς δράσασιν αἰσχύνην μᾶλλόν τι προσέβαλεν ἢ ἐς τὸ ξύμπαν Ἑλληνικὸν μέγαν τὸν παράλογον παρέσχεν.*

Θηβαίοις δὲ τὰ τῆς ἀποστάσεως ὀξέα καὶ ξὺν 6 *οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι' ὀλίγου τε καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ φόνος πολύς, οἷα δὴ ἐξ ὁμοφύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμός, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια τῶν τότε προεχούσης ἐν τοῖς Ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος εἰς μῆνιν τὴν ἀπὸ τοῦ θείου ἀνηνέχθη, ὡς* 7 *τῆς τε ἐν τῷ Μηδικῷ πολέμῳ προδοσίας τῶν Ἑλλή-*

νων διὰ μακροῦ ταύτην δίκην ἐκτείσαντας Θηβαίους, καὶ τῆς Πλαταιῶν ἔν τε ταῖς σπονδαῖς καταλήψεως καὶ τοῦ παντελοῦς ἀνδραποδισμοῦ τῆς πόλεως, καὶ τῆς τῶν παραδόντων σφᾶς Λακεδαιμονίοις οὐχ Ἑλληνικῆς γενομένης διὰ Θηβαίους σφαγῆς, καὶ τοῦ χωρίου τῆς ἐρημώσεως ἐν ὅτῳ οἱ Ἕλληνες παραταξάμενοι Μήδοις ἀπώσαντο τῆς Ἑλλάδος τὸν κίνδυνον, καὶ ὅτι Ἀθηναίους αὐτοὶ τῇ ψήφῳ ἀπώλλυον ὅτε ὑπὲρ ἀνδραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς Λακε-
8 δαιμονίων ξυμμάχοις. ἐπεὶ καὶ πρὸ τῆς ξυμφορᾶς πολλὰ ἀπὸ τοῦ θείου ἐπισημῆναι ἐλέγετο, ἃ δὴ ἐν μὲν τῷ παραυτίκα ἠμελήθη, ὕστερον δὲ ἡ μνήμη αὐτὰ ἐς λογισμὸν τοῦ ἐκ πάλαι ἐπὶ τοῖς ξυνενεχθεῖσι προσημανθῆναι ἀνήνεγκεν.

9 Τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, οἷς δὴ καὶ ἐπέτρεψεν Ἀλέξανδρος τὰ κατὰ τὰς Θήβας διαθεῖναι, τὴν μὲν Καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πόλιν δὲ κατασκάψαι εἰς ἔδαφος καὶ τὴν χώραν κατανεῖμαι τοῖς ξυμμάχοις ὅση μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖκας καὶ ὅσοι ὑπελείποντο Θηβαίων, πλὴν τῶν ἱερέων τε καὶ ἱερειῶν καὶ ὅσοι ξένοι Φιλίππου ἢ Ἀλεξάνδρου ἢ ὅσοι πρόξενοι Μακεδόνων ἐγένοντο,
10 ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους τοῦ Πινδάρου λέγουσιν ὅτι διεφύλαξεν Ἀλέξανδρος αἰδοῖ τῇ Πινδάρου. ἐπὶ τούτοις Ὀρχόμενόν τε καὶ Πλαταιὰς ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξύμμαχοι ἔγνωσαν.

XIV. Pugna ad fluvium Granicum commissa narratur.

(Arrian. Anab. I 13—16.)

I Ἀλέξανδρος προὐχώρει ἐπὶ τὸν Γρανικὸν ποταμὸν

*συντεταγμένῳ τῷ στρατῷ, διπλῆν μὲν τὴν φάλαγγα
τῶν ὁπλιτῶν τάξας, τοὺς δὲ ἱππέας κατὰ τὰ κέρατα
ἄγων, τὰ σκευοφόρα δὲ κατόπιν ἐπιτάξας ἕπεσθαι·
τοὺς δὲ προκατασκεψομένους τὰ τῶν πολεμίων ἦγεν
αὐτῷ Ἡγέλοχος, ἱππέας μὲν ἔχων τοὺς σαρισοφόρους,
τῶν δὲ ψιλῶν ἐς πεντακοσίους. καὶ Ἀλέξανδρός τε* 2
*οὐ πολὺ ἀπεῖχε τοῦ ποταμοῦ τοῦ Γρανικοῦ καὶ οἱ
ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες ἀπήγγελλον ἐπὶ
τῷ Γρανικῷ πέραν τοὺς Πέρσας ἐφεστάναι τεταγμέ-
νους ὡς ἐς μάχην. ἔνθα δὴ Ἀλέξανδρος μὲν τὴν
στρατιὰν πᾶσαν συνέταττεν ὡς μαχουμένους· Παρμε-
νίων δὲ προσελθὼν λέγει Ἀλεξάνδρῳ τάδε· 'Ἐμοὶ δο-* 3
*κεῖ, βασιλεῦ, ἀγαθὸν εἶναι ἐν τῷ παρόντι καταστρα-
τοπεδεῦσαι ἐπὶ τοῦ ποταμοῦ τῇ ὄχθῃ ὡς ἔχομεν.
τοὺς γὰρ πολεμίους οὐ δοκῶ τολμήσειν πολὺ τῷ πεζῷ
λειπομένους πλησίον ἡμῶν αὐλισθῆναι, καὶ ταύτῃ
παρέξειν ἕωθεν εὐπετῶς τῷ στρατῷ διαβαλεῖν τὸν
πόρον· ὑποφθάσομεν γὰρ αὐτὸν περάσαντες πρὶν
ἐκείνους ἐς τάξιν καθίστασθαι. νῦν δὲ οὐκ ἀκινδύ-* 4
*νως μοι δοκοῦμεν ἐπιχειρήσειν τῷ ἔργῳ, ὅτι οὐχ οἷόν
τε ἐν μετώπῳ διὰ τοῦ ποταμοῦ ἄγειν τὸν στρατόν.
πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα, αἱ δὲ ὄχθαι
αὗται ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσίν·
ἀτάκτως τε οὖν καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον,* 5
*ἐκβαίνουσιν ἐπικείσονται ἐς φάλαγγα συντεταγμένοι
τῶν πολεμίων οἱ ἱππεῖς· καὶ τὸ πρῶτον σφάλμα ἔς τε
τὰ παρόντα χαλεπὸν καὶ ἐς τὴν ὑπὲρ παντὸς τοῦ πο-
λέμου κρίσιν σφαλερόν.' Ἀλέξανδρος δέ· 'Ταῦτα μέν',* 6
*ἔφη, 'ὦ Παρμενίων, γιγνώσκω· αἰσχύνομαι δέ, εἰ τὸν
μὲν Ἑλλήσποντον διέβην εὐπετῶς, τοῦτο δέ, σμικρὸν
ῥεῦμα' (τούτῳ τῷ ὀνόματι τὸν Γρανικὸν ἐκφαυλίσας),*

7 ‘εἶρξει ἡμᾶς τοῦ μὴ οὐ διαβῆναι ὡς ἔχομεν. καὶ
τοῦτο οὔτε πρὸς Μακεδόνων τῆς δόξης ποιοῦμαι
ἀναθαρρήσειν τε δοκῶ τοὺς Πέρσας ὡς ἀξιομάχους
Μακεδόσιν ὄντας, ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἐν
8 τῷ παραυτίκα ἔπαθον.’ Ταῦτα εἰπὼν Παρμενίωνα μὲν
ἐπὶ τὸ εὐώνυμον κέρας πέμπει ἡγησόμενον, αὐτὸς δὲ
9 ἐπὶ τὸ δεξιὸν παρῆγε. Περσῶν δὲ ἱππεῖς μὲν ἦσαν
ἐς δισμυρίους, ξένοι δὲ πεζοὶ μισθοφόροι ὀλίγον ἀπο-
δέοντες δισμυρίων· ἐτάχθησαν δὲ τὴν μὲν ἵππον παρα-
τείναντες τῷ ποταμῷ κατὰ τὴν ὄχθην ἐπὶ φάλαγγα
μακράν, τοὺς δὲ πεζοὺς κατόπιν τῶν ἱππέων· καὶ γὰρ
ὑπερδέξια ἦν τὰ ὑπὲρ τὴν ὄχθην χωρία. ᾗ δὲ Ἀλέ-
ξανδρον αὐτὸν καθεώρων (δῆλος γὰρ ἦν τῶν τε ὅπλων
τῇ λαμπρότητι καὶ τῶν ἀμφ’ αὐτὸν τῇ σὺν ἐκπλήξει
θεραπείᾳ) κατὰ τὸ εὐώνυμον σφῶν ἐπέχοντα, ταύτῃ
πυκνὰς ἐπέταξαν τῇ ὄχθῃ τὰς ἴλας τῶν ἱππέων.

10 Χρόνον μὲν δὴ ἀμφότερα τὰ στρατεύματα ἐπ’
ἄκρου τοῦ ποταμοῦ ἐφεστῶτες ὑπὸ τοῦ τὸ μέλλον
ὀκνεῖν ἡσυχίαν ἦγον καὶ σιγὴ ἦν πολλὴ ἀφ’ ἑκατέρων·
οἱ γὰρ Πέρσαι προσέμενον τοὺς Μακεδόνας, ὁπότε
ἐσβήσονται ἐς τὸν πόρον, ὡς ἐπικεισόμενοι ἐκβαίνου-
11 σιν. Ἀλέξανδρος δὲ ἀναπηδήσας ἐπὶ τὸν ἵππον καὶ
τοῖς ἀμφ’ αὐτὸν ἐγκελευσάμενος ἕπεσθαί τε καὶ ἄν-
δρας ἀγαθοὺς γίγνεσθαι, τοὺς μὲν προδρόμους ἱππέας
καὶ μὴν καὶ τοὺς Παίονας προεμβάλλει εἰς τὸν ποτα-
μὸν ἔχοντα Ἀμύνταν τὸν Ἀρραβαίου καὶ τῶν πεζῶν
μίαν τάξιν, καὶ πρὸ τούτων τὴν Σωκράτους ἴλην Πτο-
λεμαῖον τὸν Φιλίππου ἄγοντα, ᾗ δὴ καὶ ἐτύγχανε τὴν
ἡγεμονίαν τοῦ ἱππικοῦ παντὸς ἔχουσα ἐκείνῃ τῇ ἡμέρᾳ·
12 αὐτὸς δὲ ἄγων τὸ δεξιὸν κέρας ὑπὸ σαλπίγγων τε καὶ
τῷ Ἐνυαλίῳ ἀλαλάζοντας ἐμβαίνει ἐς τὸν πόρον, λοξὴν

ἀεὶ παρατείνων τὴν τάξιν ᾗ παρεῖλκε τὸ ῥεῦμα, ἵνα
δὴ μὴ ἐκβαίνοντι αὐτῷ οἱ Πέρσαι κατὰ κέρας προσπί-
πτοιεν, ἀλλὰ καὶ αὐτὸς ὡς ἀνυστὸν τῇ φάλαγγι
προσμείξῃ αὐτοῖς.

Οἱ δὲ Πέρσαι, ᾗ πρῶτοι οἱ ἀμφὶ Ἀμύνταν καὶ II
Σωκράτην προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνω-
θεν ἔβαλλον, οἱ μὲν αὐτῶν ἀπὸ τῆς ὄχθης ἐξ ὑπερ-
δεξίου ἐς τὸν ποταμὸν ἐσακοντίζοντες, οἱ δὲ κατὰ τὰ
χθαμαλώτερα αὐτῆς ἔστε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες.
καὶ ἦν τῶν τε ἱππέων ὠθισμός, τῶν μὲν ἐκβαίνειν ἐκ 2
τοῦ ποταμοῦ, τῶν δ' εἴργειν τὴν ἔκβασιν, καὶ παλ-
τῶν ἀπὸ μὲν τῶν Περσῶν πολλὴ ἄφεσις, οἱ Μακε-
δόνες δὲ ξὺν τοῖς δόρασιν ἐμάχοντο. ἀλλὰ τῷ τε
πλήθει πολὺ ἐλαττούμενοι οἱ Μακεδόνες ἐκακοπάθουν
ἐν τῇ πρώτῃ προσβολῇ καὶ αὐτοὶ ἐξ ἀβεβαίου τε καὶ
ἅμα κάτωθεν ἐκ τοῦ ποταμοῦ ἀμυνόμενοι, οἱ δὲ Πέρ-
σαι ἐξ ὑπερδεξίου τῆς ὄχθης· ἄλλως τε καὶ τὸ κράτι-
στον τῆς Περσικῆς ἵππου ταύτῃ ἐπετέτακτο, οἵ τε
Μέμνονος παῖδες καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων
ἐκινδύνευε. καὶ οἱ μὲν πρῶτοι τῶν Μακεδόνων ξυμ- 3
μείξαντες τοῖς Πέρσαις κατεκόπησαν πρὸς αὐτῶν, ἄν-
δρες ἀγαθοὶ γενόμενοι, ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον
πελάζοντα ἀπέκλιναν αὐτῶν. Ἀλέξανδρος γὰρ ἤδη
πλησίον ἦν, ἅμα οἷ ἄγων τὸ κέρας τὸ δεξιόν, καὶ
ἐμβάλλει ἐς τοὺς Πέρσας πρῶτος, ἵνα τὸ πᾶν στῖφος
τῆς ἵππου καὶ αὐτοὶ οἱ ἡγεμόνες τῶν Περσῶν τεταγ-
μένοι ἦσαν· καὶ περὶ αὐτὸν ξυνειστήκει μάχη καρτερά·
καὶ ἐν τούτῳ ἄλλαι ἐπ' ἄλλαις τῶν τάξεων τοῖς Μα- 4
κεδόσι διέβαινον οὐ χαλεπῶς ἤδη. καὶ ἦν μὲν ἀπὸ
τῶν ἵππων ἡ μάχη, πεζομαχίᾳ δὲ μᾶλλόν τι ἐῴκει.
ξυνεχόμενοι γὰρ ἵπποι τε ἵπποις καὶ ἄνδρες ἀνδράσιν

ἠγωνίζοντο, οἱ μὲν ἐξῶσαι εἰς ἅπαν ἀπὸ τῆς ὄχθης
5 καὶ ἐς τὸ πεδίον βιάσασθαι τοὺς Πέρσας, οἱ Μακε-
δόνες, οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν, οἱ Πέρσαι,
καὶ ἐς τὸν ποταμὸν αὖθις ἀπώσασθαι. καὶ ἐκ τού-
του ἐπλεονέκτουν ἤδη οἱ σὺν Ἀλεξάνδρῳ τῇ τε ἄλλῃ
ῥώμῃ καὶ ἐμπειρίᾳ καὶ ὅτι ξυστοῖς κρανεΐνοις πρὸς
παλτὰ ἐμάχοντο.

6 Ἔνθα δὴ καὶ Ἀλεξάνδρῳ ξυντρίβεται τὸ δόρυ ἐν
τῇ μάχῃ· ὁ δὲ Ἄρετιν ᾔτει δόρυ ἕτερον, ἀναβολέα
τῶν βασιλικῶν· τῷ δὲ καὶ αὐτῷ πονουμένῳ συντε-
τριμμένον τὸ δόρυ ἦν, ὁ δὲ τῷ ἡμίσει κεκλασμένου
τοῦ δόρατος οὐκ ἀφανῶς ἐμάχετο, καὶ τοῦτο δείξας
Ἀλεξάνδρῳ ἄλλον αἰτεῖν ἐκέλευε· Δημάρατος δέ, ἀνὴρ
Κορίνθιος, τῶν ἀμφ' αὐτὸν ἑταίρων, δίδωσιν αὐτῷ
7 τὸ αὑτοῦ δόρυ. καὶ ὃς ἀναλαβὼν καὶ ἰδὼν Μιθριδά-
την τὸν Δαρείου γαμβρὸν πολὺ πρὸ τῶν ἄλλων προ-
ιππεύοντα καὶ ἐπάγοντα ἅμα οἷ ὥσπερ ἔμβολον τῶν
ἱππέων, ἐξελαύνει καὶ αὐτὸς πρὸ τῶν ἄλλων· καὶ παί-
σας ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλλει τὸν Μι-
θριδάτην. ἐν δὲ τούτῳ Ῥοισάκης μὲν ἐπελαύνει τῷ
Ἀλεξάνδρῳ καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ
8 κοπίδι· καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πλη-
γὴν δ' ἐπέσχε τὸ κράνος. καὶ καταβάλλει καὶ τοῦτον
Ἀλέξανδρος παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ
στέρνον. Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέ-
ξανδρον ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν
Κλεῖτος ὁ Δρωπίδου παίει κατὰ τοῦ ὤμου καὶ ἀπο-
κόπτει τὸν ὦμον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι·
καὶ ἐν τούτῳ ἐπεκβαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις
προὐχώρει κατὰ τὸν ποταμὸν προσεγίγνοντο τοῖς ἀμφ'
Ἀλέξανδρον.

Καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς III τὰ πρόσωπα αὐτοί τε καὶ ἵπποι τοῖς ξυστοῖς καὶ πρὸς τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμειγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι ἐγκλίνουσι ταύτῃ πρῶτον, ᾗ Ἀλέξανδρος προεκινδύνευεν. ὡς δὲ τὸ μέσον ἐνεδεδώκει αὐτοῖς, παρερρήγνυτο δὴ καὶ τὰ ἐφ' ἑκάτερα τῆς ἵππου, καὶ ἦν δὴ φυγὴ καρτερά. τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον ἐς 2 χιλίους. οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους· ὧν τὸ στῖφος ᾗ τὸ πρῶτον ἐτάχθη ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου ἢ λογισμῷ βεβαίῳ ἔμενε. καὶ τούτοις τήν τε φάλαγγα ἐπαγαγὼν καὶ τοὺς ἱππέας πάντῃ προσπεσεῖν κελεύσας ἐν μέσῳ δι' ὀλίγου κατακόπτει αὐτούς, ὥστε διέφυγε μὲν οὐδείς, ὅτι μὴ διέλαθέ τις ἐν τοῖς νεκροῖς, ἐξωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. ἔπεσον 3 δὲ καὶ ἡγεμόνες τῶν Περσῶν Νιφάτης τε καὶ Πετίνης καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης καὶ ὁ τῶν Καππαδοκῶν ὕπαρχος Μιθροβουζάνης καὶ Μιθριδάτης ὁ Δαρείου γαμβρὸς καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς καὶ Φαρνάκης, ἀδελφὸς οὗτος τῆς Δαρείου γυναικός, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύγει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος.

Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι 4 καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ ἀπέθανον· καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι, ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει· τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ τοὺς ἑξήκοντα, πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. καὶ τού- 5

τους τῇ ὑστεραίᾳ ἔθαψεν Ἀλέξανδρος ξὺν τοῖς ὅπλοις
τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δὲ αὐτῶν καὶ παισὶ τῶν
τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε καὶ ὅσαι ἄλλαι ἢ
τῷ σώματι λειτουργίαι ἢ κατὰ τὰς κτήσεις ἑκάστων
εἰσφοραί. καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν
ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα
ἰδὼν καὶ ὅπως τις ἐτρώθη ἐρόμενος καὶ ὅ τι πράττων
6 εἰπεῖν τε καὶ ἀλαζονεύσασθαί οἱ παρασχών. ὁ δὲ καὶ
τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν· ἔθαψε δὲ καὶ
τοὺς μισθοφόρους Ἕλληνας, οἳ ξὺν τοῖς πολεμίοις
στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους
ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις ἐς Μακεδονίαν
ἀπέπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα
τοῖς Ἕλλησιν Ἕλληνες ὄντες ἐναντία τῇ Ἑλλάδι ὑπὲρ
7 τῶν βαρβάρων ἐμάχοντο. ἀποπέμπει δὲ καὶ εἰς Ἀθή-
νας τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα εἶναι τῇ
Ἀθηνᾷ ἐν πόλει· καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευε
τόδε· "Ἀλέξανδρος Φιλίππου καὶ οἱ Ἕλληνες πλὴν
Λακεδαιμονίων ἀπὸ τῶν βαρβάρων τῶν τὴν Ἀσίαν
κατοικούντων."

XV. Humane Alexandrum ad Issum victoria castrisque Darei potitum in reginas captas se gessisse.

(Arrian. Anab. II 11, 9 sq. 12.)

1 Τό τε στρατόπεδον τὸ Δαρείου εὐθὺς ἐξ ἐφόδου
ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ γυνή, αὐτὴ δὲ καὶ ἀδελφὴ
Δαρείου, καὶ υἱὸς Δαρείου νήπιος· καὶ θυγατέρες δύο
ἑάλωσαν καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν τῶν ὁμοτίμων
γυναῖκες οὐ πολλαί. οἱ γὰρ ἄλλοι Πέρσαι τὰς γυναῖ-
κας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον
2 ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ
πολλὰ καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δί-

αιταν καὶ στρατευομένῳ ὅμως συνέπεται πεπόμφει ἐς
Δαμασκόν, ὥστε ἐν τῷ στρατοπέδῳ οὐ πλείονα ἢ τρισ-
χίλια τάλαντα ἑάλω. Τῇ δὲ ὑστεραίᾳ, καίπερ τετρω- 3
μένος τὸν μηρὸν ξίφει Ἀλέξανδρος, ὁ δὲ τοὺς τραυ-
ματίας ἐπῆλθε, καὶ τοὺς νεκροὺς ξυναγαγὼν ἔθαψε
μεγαλοπρεπῶς σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμ-
πρότατα ὡς ἐς πόλεμον· καὶ λόγῳ τε ἐπεκόσμησεν
ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυν-
έγνω εἰργασμένον ἢ ἀκοῇ συμφωνούμενον ἔμαθε· καὶ
χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησεν.
Ὁ δὲ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς γυναικὸς 4
ἢ τῶν παίδων ἠμέλησεν. ἀλλὰ λέγουσί τινες τῶν τὰ
Ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς, ᾗ ἀπὸ τῆς
διώξεως τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελ-
θόντα αὐτὸν τὴν Δαρείου, ἥτις αὐτῷ ἐξῃρημένη ἦν,
ἀκοῦσαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυ-
βον οὐ πόρρω τῆς σκηνῆς· πυθέσθαι οὖν, αἵτινες 5
γυναῖκες καὶ ἀνθ᾽ ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσι·
καί τινα ἐξαγγεῖλαι, ὅτι ‛ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ
ἡ γυνὴ Δαρείου καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς,
ὅτι τὸ τόξον τε τὸ Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν
βασιλικὸν καὶ ἡ ἀσπὶς ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου,
ὡς ἐπὶ τεθνεῶτι Δαρείῳ ἀνοιμώζουσι.᾽ ταῦτα ἀκού- 6
σαντα Ἀλέξανδρον πέμψαι πρὸς αὐτὰς Λεόννατον, ἕνα
τῶν ἑταίρων, ἐντειλάμενον φράσαι, ὅτι ζῇ Δαρεῖος· τὰ
δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι φεύγων ἀπέλιπεν ἐπὶ τῷ
ἅρματι καὶ ταῦτα ὅτι μόνα ἔχει Ἀλέξανδρος. καὶ
Λεόννατον παρελθόντα ἐς τὴν σκηνὴν τά τε περὶ
Δαρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς ξυγ-
χωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κό-
σμον καὶ καλεῖσθαι βασιλίσσας, ἐπεὶ οὐδὲ κατὰ ἔχθραν

οἱ γενέσθαι τὸν πόλεμον πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς
7 ἀρχῆς τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. ταῦτα
μὲν Πτολεμαῖος καὶ Ἀριστόβουλος λέγουσι· λόγος δὲ
ἔχει καὶ αὐτὸν Ἀλέξανδρον τῇ ὑστεραίᾳ παρελθεῖν
εἴσω ξὺν Ἡφαιστίωνι μόνῳ τῶν ἑταίρων· καὶ τὴν
μητέρα τὴν Δαρείου ἀμφιγνοήσασαν, ὅστις ὁ βασιλεὺς
εἴη αὐτοῖν, ἐστάλθαι γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ, τὴν
δὲ Ἡφαιστίωνι προσελθεῖν καὶ προσκυνῆσαι, ὅτι μεί-
8 ζων αὐτῇ ἐφάνη ἐκεῖνος. ὡς δὲ ὁ Ἡφαιστίων τε ὀπίσω
ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτήν, τὸν Ἀλέξανδρον
δείξας, ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καται-
δεσθεῖσαν τῇ διαμαρτίᾳ ὑποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ
φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ ἐκεῖνον εἶναι Ἀλέξαν-
9 δρον. καὶ ταῦτα ἐγὼ οὔθ' ὡς ἀληθῆ οὔτε ὡς πάντῃ
ἄπιστα ἀνέγραψα. ἀλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ
Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ
τῆς εἰς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς
δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν
πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον.

POLYBIVS

Lycortae, praetoris Achaei, filius Megalopoli anno a. Chr. n. fere 211 natus, anno 166 inter mille nobilissimos Achaeos Romam deductus, intima familiaritate cum Scipione Africano minore coniunctus et ex inimicissimo Romanorum admirator factus multis itineribus, ut situm terrarum cognosceret, susceptis Historiarum libris quadraginta omnes res ab anno 220 ad annum 146 gestas complexus est, cuius operis integri quinque primi libri, ceterorum libro ultimo excepto reliquiae exstant. mortuus est anno a. Chr. n. fere 129.

XVI. De variis rerum publicarum formis.

(Histor. VI 3—9; cf. fasc. VI p. 3.)

1 Συμβαίνει τοὺς πλείστους τῶν βουλομένων διδα-
σκαλικῶς ἡμῖν ὑποδεικνύειν περὶ τῶν πολιτειῶν τρία

γένη λέγειν, ὧν τὸ μὲν καλοῦσι βασιλείαν, τὸ δ᾽ ἀρι-
στοκρατίαν, τὸ δὲ τρίτον δημοκρατίαν. δοκεῖ δέ μοι
πάνυ τις εἰκότως ἂν ἐπαπορῆσαι πρὸς αὐτούς, πότερον
ὡς μόνας ταύτας ἢ καὶ νὴ Δί᾽ ὡς ἀρίστας ἡμῖν εἰση-
γοῦνται τῶν πολιτειῶν. κατ᾽ ἀμφότερα γὰρ ἀγνοεῖν 2
μοι δοκοῦσιν. δῆλον γὰρ ὡς ἀρίστην μὲν ἡγητέον πο-
λιτείαν τὴν ἐκ πάντων τῶν προειρημένων ἰδιωμάτων
συνεστῶσαν· τούτου γὰρ τοῦ γένους οὐ λόγῳ μόνον,
ἀλλ᾽ ἔργῳ πεῖραν εἰλήφαμεν Λυκούργου συστήσαντος
πρώτου κατὰ τοῦτον τὸν τρόπον τὸ Λακεδαιμονίων
πολίτευμα. καὶ μὴν οὐδ᾽ ὡς μόνας ταύτας προσ- 3
δεκτέον· καὶ γὰρ μοναρχικὰς καὶ τυραννικὰς ἤδη τινὰς
τεθεάμεθα πολιτείας, αἳ πλεῖστον διαφέρουσαι βασι-
λείας παραπλήσιον ἔχειν τι ταύτῃ δοκοῦσιν· ᾗ καὶ
συμψεύδονται καὶ συγχρῶνται πάντες οἱ μόναρχοι,
καθ᾽ ὅσον οἷοί τ᾽ εἰσίν, τῷ τῆς βασιλείας ὀνόματι.
καὶ μὴν ὀλιγαρχικὰ πολιτεύματα καὶ πλείω γέγονεν
δοκοῦντα παρόμοιον ἔχειν τι τοῖς ἀριστοκρατικοῖς, ἃ
πλεῖστον ὡς ἔπος εἰπεῖν διεστᾶσιν. ὁ δ᾽ αὐτὸς λόγος
καὶ περὶ δημοκρατίας. ὅτι δ᾽ ἀληθές ἐστι τὸ λεγό- 4
μενον, ἐκ τούτων συμφανές. οὔτε γὰρ πᾶσαν δήπου
μοναρχίαν εὐθέως βασιλείαν ῥητέον, ἀλλὰ μόνην τὴν
ἐξ ἑκόντων συγχωρουμένην καὶ τῇ γνώμῃ τὸ πλεῖον ἢ
φόβῳ καὶ βίᾳ κυβερνωμένην· οὐδὲ μὴν πᾶσαν ὀλιγαρ-
χίαν ἀριστοκρατίαν νομιστέον, ἀλλὰ ταύτην, ἥτις ἂν
κατ᾽ ἐκλογὴν ὑπὸ τῶν δικαιοτάτων καὶ φρονιμωτάτων
ἀνδρῶν βραβεύηται. παραπλησίως οὐδὲ δημοκρατίαν,
ἐν ᾗ πᾶν πλῆθος κύριόν ἐστι ποιεῖν, ὅ τι ποτ᾽ ἂν
αὐτὸ βουληθῇ καὶ προθῆται· παρὰ δ᾽ ᾧ πάτριόν ἐστι
καὶ σύνηθες θεοὺς σέβεσθαι, γονεῖς θεραπεύειν, πρε-
σβυτέρους αἰδεῖσθαι, νόμοις πείθεσθαι, παρὰ τοῖς

τοιούτοις συστήμασιν ὅταν τὸ τοῖς πλείοσι δόξαν νικᾷ,
5 τοῦτο καλεῖν δεῖ δημοκρατίαν. διὸ καὶ γένη μὲν ἓξ
εἶναι ῥητέον πολιτειῶν, τρία μὲν ἃ πάντες θρυλοῦσι
καὶ νῦν προείρηται, τρία δὲ τὰ τούτοις συμφυῆ, λέγω
δὲ μοναρχίαν, ὀλιγαρχίαν, ὀχλοκρατίαν. πρώτη μὲν
οὖν ἀκατασκεύως καὶ φυσικῶς συνίσταται μοναρχία·
ταύτῃ δ' ἕπεται καὶ ἐκ ταύτης γεννᾶται μετὰ κατα-
σκευῆς καὶ διορθώσεως βασιλεία. μεταβαλούσης δὲ
ταύτης εἰς τὰ συμφυῆ κακά, λέγω δ' εἰς τυραννίδα,
αὖθις ἐκ τῆς τούτων καταλύσεως ἀριστοκρατία φύεται.
καὶ μὴν ταύτης εἰς ὀλιγαρχίαν ἐκτραπείσης κατὰ φύ-
σιν, τοῦ δὲ πλήθους ὀργῇ μετελθόντος τὰς τῶν προ-
εστώτων ἀδικίας γεννᾶται δῆμος. ἐκ δὲ τῆς τούτου
πάλιν ὕβρεως καὶ παρανομίας ἀποπληροῦται σὺν χρό-
6 νοις ὀχλοκρατία. γνοίη δ' ἄν τις σαφέστατα περὶ τού-
των, ὡς ἀληθῶς ἐστιν οἷα δὴ νῦν εἶπον, ἐπὶ τὰς ἑκά-
στων κατὰ φύσιν ἀρχὰς καὶ γενέσεις καὶ μεταβολὰς
ἐπιστήσας· ὁ γὰρ συνιδὼν ἕκαστον αὐτῶν ὡς φύεται,
μόνος ἂν οὗτος δύναιτο συνιδεῖν καὶ τὴν αὔξησιν καὶ
τὴν ἀκμὴν καὶ τὴν μεταβολὴν ἑκάστων καὶ τὸ τέλος,
7 πότε καὶ πῶς καὶ ποῦ καταντήσει πάλιν. ἀκριβέστερον
μὲν οὖν ἴσως ὁ περὶ τῆς κατὰ φύσιν μεταβολῆς τῶν
πολιτειῶν εἰς ἀλλήλας διευκρινεῖται λόγος παρὰ Πλά-
τωνι καί τισιν ἑτέροις τῶν φιλοσόφων· ποικίλος δ'
ὢν καὶ διὰ πλειόνων λεγόμενος ὀλίγοις ἐφικτός ἐστιν.
διόπερ ὅσον ἀνήκειν ὑπολαμβάνομεν αὐτοῦ πρὸς τὴν
πραγματικὴν ἱστορίαν καὶ τὴν κοινὴν ἐπίνοιαν, τοῦτο
πειρασόμεθα κεφαλαιωδῶς διελθεῖν.

8 Ποίας οὖν ἀρχὰς λέγω καὶ πόθεν φημὶ φύεσθαι
τὰς πολιτείας πρῶτον; ὅταν ἢ διὰ κατακλυσμοὺς ἢ
διὰ λοιμικὰς περιστάσεις ἢ δι' ἀφορίας καρπῶν ἢ δι'

ἄλλας τοιαύτας αἰτίας φθορὰ γένηται τοῦ τῶν ἀνθρώπων γένους, οἵας ἤδη γεγονέναι παρειλήφαμεν καὶ πάλιν πολλάκις ἔσεσθαι ὁ λόγος αἱρεῖ, τότε δὴ συμφθειρομένων πάντων τῶν ἐπιτηδευμάτων καὶ τεχνῶν, ὅταν ἐκ τῶν περιλειφθέντων οἱονεὶ σπερμάτων αὖθις αὐξηθῇ σὺν χρόνῳ πλῆθος ἀνθρώπων, τότε δήπου, καθάπερ ἐπὶ τῶν ἄλλων ζῴων, καὶ ἐπὶ τούτων συναθροιζομένων — ὅπερ εἰκὸς καὶ τούτους εἰς τὸ ὁμόφυλον συναγελάζεσθαι διὰ τὴν τῆς φύσεως ἀσθένειαν — ἀνάγκη τὸν τῇ σωματικῇ ῥώμῃ καὶ τῇ ψυχικῇ τόλμῃ διαφέροντα, τοῦτον ἡγεῖσθαι καὶ κρατεῖν, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων γενῶν τῶν ἀδοξοποιήτων ζῴων θεωρούμενον τοῦτο χρὴ φύσεως ἔργον ἀληθινώτατον νομίζειν, παρ' οἷς ὁμολογουμένως τοὺς ἰσχυροτάτους ὁρῶμεν ἡγουμένους, λέγω δὲ ταύρους, κάπρους, ἀλεκτρυόνας, τὰ τούτοις παραπλήσια. τὰς μὲν οὖν ἀρχὰς εἰκὸς τοιούτους εἶναι καὶ τοὺς τῶν ἀνθρώπων βίους ζῳηδὸν συναθροιζομένων καὶ τοῖς ἀλκιμωτάτοις καὶ δυναμικωτάτοις ἑπομένων· οἷς ὅρος μέν ἐστι τῆς ἀρχῆς ἰσχύς, ὄνομα δ' ἂν εἴποι τις μοναρχίαν. ἐπει- 9 *δὰν δὲ τοῖς συστήμασι διὰ τὸν χρόνον ὑπογένηται συντροφία καὶ συνήθεια, τότ' ἀρχὴ βασιλείας φύεται καὶ τότε πρώτως ἔννοια γίνεται τοῦ καλοῦ καὶ δικαίου τοῖς ἀνθρώποις, ὁμοίως δὲ καὶ τῶν ἐναντίων τούτοις. ὁ δὲ τρόπος τῆς ἀρχῆς καὶ τῆς γενέσεως τῶν εἰρη-* 10 *μένων τοιόσδε. ὁπότε γάρ τις τῶν ἐκτραφέντων τέκνων εἰς ἡλικίαν ἱκόμενος μὴ νέμοι χάριν μηδ' ἀμύναι τούτοις οἷς ἐκτρέφοιτ', ἀλλά που τἀναντία κακῶς λέγειν ἢ δρᾶν τούτους ἐγχειροίη, δῆλον ὡς δυσαρεστεῖν καὶ προσκόπτειν εἰκὸς τοὺς συνιδόντας τὴν γεγενημένην ἐκ τῶν γεννησάντων ἐπιμέλειαν καὶ κακοπάθειαν*

περὶ τὰ τέκνα καὶ τὴν τούτων θεραπείαν καὶ τροφήν.
τοῦ γὰρ γένους τῶν ἀνθρώπων ταύτῃ διαφέροντος
τῶν ἄλλων ζῴων, ᾗ μόνοις αὐτοῖς μέτεστι νοῦ καὶ
λογισμοῦ, φανερὸν ὡς οὐκ εἰκὸς παρατρέχειν αὐτοὺς
τὴν προειρημένην διαφοράν, καθάπερ ἐπὶ τῶν ἄλλων
ζῴων, ἀλλ' ἐπισημαίνεσθαι τὸ γινόμενον καὶ δυσαρε-
στεῖσθαι τοῖς παροῦσι προορωμένους τὸ μέλλον καὶ
συλλογιζομένους ὅτι τὸ παραπλήσιον ἑκάστοις αὐτῶν
11 συγκυρήσει. καὶ μὴν ὅταν που πάλιν ἅτερος ὑπὸ θα-
τέρου τυχὼν ἐπικουρίας ἢ βοηθείας ἐν τοῖς δεινοῖς μὴ
νέμῃ τῷ σώσαντι χάριν, ἀλλά ποτε καὶ βλάπτειν ἐγχειρῇ
τοῦτον, φανερὸν ὡς εἰκὸς τῷ τοιούτῳ δυσαρεστεῖσθαι
καὶ προσκόπτειν τοὺς εἰδότας συναγανακτοῦντας μὲν
τῷ πέλας, ἀναφέροντας δ' ἐφ' αὐτοὺς τὸ παραπλήσιον.
ἐξ ὧν ὑπογίνεταί τις ἔννοια παρ' ἑκάστῳ τῆς τοῦ καθ-
ήκοντος δυνάμεως καὶ θεωρίας· ὅπερ ἐστὶν ἀρχὴ καὶ
12 τέλος δικαιοσύνης. ὁμοίως πάλιν, ὅταν ἀμύνῃ μέν τις
πρὸ πάντων ἐν τοῖς δεινοῖς, ὑφίστηται δὲ καὶ μένῃ
τὰς ἐπιφορὰς τῶν ἀλκιμωτάτων ζῴων, εἰκὸς μὲν τὸν
τοιοῦτον ὑπὸ τοῦ πλήθους ἐπισημασίας τυγχάνειν
εὐνοϊκῆς καὶ προστατικῆς, τὸν δὲ τἀναντία τούτῳ
πράττοντα καταγνώσεως καὶ προσκοπῆς. ἐξ οὗ πάλιν
εὔλογον ὑπογίνεσθαί τινα θεωρίαν παρὰ τοῖς πολλοῖς
αἰσχροῦ καὶ καλοῦ καὶ τῆς τούτων πρὸς ἄλληλα δια-
φορᾶς καὶ τὸ μὲν ζήλου καὶ μιμήσεως τυγχάνειν διὰ
13 τὸ συμφέρον, τὸ δὲ φυγῆς. ὅταν οὖν ὁ προεστὼς καὶ
τὴν μεγίστην δύναμιν ἔχων ἀεὶ συνεπισχύῃ τοῖς προ-
ειρημένοις κατὰ τὰς τῶν πολλῶν διαλήψεις καὶ δόξῃ
τοῖς ὑποταττομένοις διανεμητικὸς εἶναι τοῦ κατ' ἀξίαν
ἑκάστοις, οὐκέτι τὴν βίαν δεδιότες, τῇ δὲ γνώμῃ τὸ
πλεῖον εὐδοκοῦντες ὑποτάττονται καὶ συσσῴζουσι τὴν

ἀρχὴν αὐτοῦ, κἂν ὅλως ᾖ γηραιός, ὁμοθυμαδὸν ἐπ-
αμύνοντες καὶ διαγωνιζόμενοι πρὸς τοὺς ἐπιβουλεύ-
οντας αὐτοῦ τῇ δυναστείᾳ. καὶ δὴ τῷ τοιούτῳ τρόπῳ
βασιλεὺς ἐκ μονάρχου λανθάνει γενόμενος, ὅταν παρὰ
τοῦ θυμοῦ καὶ τῆς ἰσχύος μεταλάβῃ τὴν ἡγεμονίαν ὁ
λογισμός. αὕτη καλοῦ καὶ δικαίου πρώτη παρ' ἀν- 14
θρώποις κατὰ φύσιν ἔννοια καὶ τῶν ἐναντίων τούτοις,
αὕτη βασιλείας ἀληθινῆς ἀρχὴ καὶ γένεσις. οὐ γὰρ
μόνον αὐτοῖς, ἀλλὰ καὶ τοῖς ἐκ τούτων οἱ πολλοὶ δια-
φυλάττουσι τὰς ἀρχὰς πεπεισμένοι τοὺς ἐκ τοιούτων
γεγονότας καὶ τραφέντας ὑπὸ τοιούτοις παραπλησίους
ἕξειν καὶ τὰς προαιρέσεις. ἐὰν δέ ποτε τοῖς ἐγγόνοις
δυσαρεστήσωσι, ποιοῦνται μετὰ ταῦτα τὴν αἵρεσιν τῶν
ἀρχόντων καὶ βασιλέων οὐκέτι κατὰ τὰς σωματικὰς
καὶ θυμικὰς δυνάμεις, ἀλλὰ κατὰ τὰς τῆς γνώμης καὶ
τοῦ λογισμοῦ διαφορὰς πεῖραν εἰληφότες ἐπ' αὐτῶν
τῶν ἔργων τῆς ἐξ ἀμφοῖν παραλλαγῆς. τὸ μὲν οὖν 15
παλαιὸν ἐνεγήρασκον ταῖς βασιλείαις οἱ κριθέντες ἅπαξ
καὶ τυχόντες τῆς ἐξουσίας ταύτης, τόπους τε διαφέρον-
τας ὀχυρούμενοι καὶ τειχίζοντες καὶ χώραν κατακτώ-
μενοι τὸ μὲν τῆς ἀσφαλείας χάριν, τὸ δὲ τῆς δαψι-
λείας τῶν ἐπιτηδείων τοῖς ὑποτεταγμένοις· ἅμα δὲ
περὶ ταῦτα σπουδάζοντες ἐκτὸς ἦσαν πάσης διαβολῆς
καὶ φθόνου διὰ τὸ μήτε περὶ τὴν ἐσθῆτα μεγάλας
ποιεῖσθαι τὰς παραλλαγὰς μήτε περὶ τὴν βρῶσιν καὶ
πόσιν, ἀλλὰ παραπλήσιον ἔχειν τὴν βιοτείαν τοῖς ἄλ-
λοις ὁμόσε ποιούμενοι τοῖς πολλοῖς ἀεὶ τὴν δίαιταν.
ἐπεὶ δ' ἐκ διαδοχῆς καὶ κατὰ γένος τὰς ἀρχὰς παρα- 16
λαμβάνοντες ἕτοιμα μὲν εἶχον ἤδη τὰ πρὸς τὴν ἀσφά-
λειαν, ἕτοιμα δὲ καὶ πλείω τῶν ἱκανῶν τὰ πρὸς τὴν
τροφήν, τότε δὴ ταῖς ἐπιθυμίαις ἑπόμενοι διὰ τὴν

περιουσίαν ἐξάλλους μὲν ἐσθῆτας ὑπέλαβον δεῖν ἔχειν
τοὺς ἡγουμένους τῶν ὑποταττομένων, ἐξάλλους δὲ καὶ
ποικίλας τὰς περὶ τὴν τροφὴν ἀπολαύσεις καὶ παρα-
σκευάς, ἀναντιρρήτους δὲ καὶ παρὰ τῶν μὴ προσηκόν-
των τὰς τῶν ἀφροδισίων χρείας καὶ συνουσίας. ἐφ'
οἷς μὲν φθόνου γενομένου καὶ προσκοπῆς, ἐφ' οἷς δὲ
μίσους ἐκκαιομένου καὶ δυσμενικῆς ὀργῆς ἐγένετο μὲν
ἐκ τῆς βασιλείας τυραννίς, ἀρχὴ δὲ καταλύσεως ἐγεν-
νᾶτο καὶ σύστασις ἐπιβουλῆς τοῖς ἡγουμένοις· ἣν οὐκ
ἐκ τῶν χειρίστων, ἀλλ' ἐκ τῶν γενναιοτάτων καὶ με-
γαλοψυχοτάτων, ἔτι δὲ θαρραλεωτάτων ἀνδρῶν συν-
έβαινε γίνεσθαι διὰ τὸ τοὺς τοιούτους ἥκιστα δύνα-
σθαι φέρειν τὰς τῶν ἐφεστώτων ὕβρεις.
17 Τοῦ δὲ πλήθους, ὅτε λάβοι προστάτας, συνεπισχύ-
οντος κατὰ τῶν ἡγουμένων διὰ τὰς προειρημένας
αἰτίας τὸ μὲν τῆς βασιλείας καὶ μοναρχίας εἶδος
ἄρδην ἀνῃρεῖτο, τὸ δὲ τῆς ἀριστοκρατίας αὖθις ἀρχὴν
ἐλάμβανε καὶ γένεσιν. τοῖς γὰρ καταλύσασι τοὺς
μονάρχους οἱονεὶ χάριν ἐκ χειρὸς ἀποδιδόντες οἱ
πολλοὶ τούτοις ἐχρῶντο προστάταις καὶ τούτοις ἐπ-
18 έτρεπον περὶ σφῶν. οἱ δὲ τὸ μὲν πρῶτον ἀσμενί-
ζοντες τὴν ἐπιτροπὴν οὐδὲν προυργιαίτερον ἐποιοῦντο
τοῦ κοινῇ συμφέροντος καὶ κηδεμονικῶς καὶ φυλακτι-
κῶς ἕκαστα χειρίζοντες καὶ τὰ κατ' ἰδίαν καὶ τὰ κοινὰ
19 τοῦ πλήθους. ὅτε δὲ διαδέξαιντο πάλιν παῖδες παρὰ
πατέρων τὴν τοιαύτην ἐξουσίαν ἄπειροι μὲν ὄντες
κακῶν, ἄπειροι δὲ καθόλου πολιτικῆς ἰσότητος καὶ
παρρησίας, τεθραμμένοι δ' ἐξ ἀρχῆς ἐν ταῖς τῶν πα-
τέρων ἐξουσίαις καὶ προαγωγαῖς, ὁρμήσαντες οἱ μὲν
ἐπὶ πλεονεξίαν καὶ φιλαργυρίαν ἄδικον, οἱ δ' ἐπὶ μέ-
θας καὶ τὰς ἅμα ταύταις ἀπλήστους εὐωχίας, οἱ δ' ἐπὶ

τὰς τῶν γυναικῶν ὕβρεις καὶ παίδων ἁρπαγὰς μετέ-
στησαν μὲν τὴν ἀριστοκρατίαν εἰς ὀλιγαρχίαν, ταχὺ
δὲ κατεσκεύασαν ἐν τοῖς πλήθεσι πάλιν τὰ παραπλήσια
τοῖς ἄρτι ῥηθεῖσιν· διὸ καὶ παραπλήσιον συνέβαινε τὸ
τέλος αὐτῶν γίνεσθαι τῆς καταστροφῆς τοῖς περὶ τοὺς
τυράννους ἀτυχήμασιν.

Ἐπειδὰν γάρ τις συνθεασάμενος τὸν φθόνον καὶ 20
τὸ μῖσος κατ' αὐτῶν τὸ παρὰ τοῖς πολίταις ὑπάρχον
κἄπειτα θαρρήσῃ λέγειν ἢ πράττειν τι κατὰ τῶν προ-
εστώτων, πᾶν ἕτοιμον καὶ συνεργὸν λαμβάνει τὸ πλῆ-
θος. λοιπὸν οὓς μὲν φονεύσαντες, οὓς δὲ φυγαδεύ-
σαντες οὔτε βασιλέα προΐστασθαι τολμῶσιν ἔτι δεδιότες
τὴν τῶν πρότερον ἀδικίαν, οὔτε πλείοσιν ἐπιτρέπειν
τὰ κοινὰ θαρροῦσι παρὰ πόδας αὐτοῖς οὔσης τῆς
πρότερον ἀγνοίας· μόνης δὲ σφίσι καταλειπομένης ἐλ-
πίδος ἀκεραίου τῆς ἐν αὐτοῖς ἐπὶ ταύτην καταφέρον-
ται καὶ τὴν μὲν πολιτείαν ἐξ ὀλιγαρχικῆς δημοκρατίαν
ἐποίησαν, τὴν δὲ τῶν κοινῶν πρόνοιαν καὶ πίστιν εἰς
σφᾶς αὐτοὺς ἀνέλαβον. καὶ μέχρι μὲν ἂν ἔτι σῴζων- 21
ταί τινες τῶν ὑπεροχῆς καὶ δυναστείας πεῖραν εἰλη-
φότων, ἀσμενίζοντες τῇ παρούσῃ καταστάσει περὶ πλεί-
στου ποιοῦνται τὴν ἰσηγορίαν καὶ τὴν παρρησίαν·
ὅταν δ' ἐπιγένωνται νέοι καὶ παισὶ παίδων πάλιν ἡ 22
δημοκρατία παραδοθῇ, τότ' οὐκέτι διὰ τὸ σύνηθες ἐν
μεγάλῳ τιθέμενοι τὸ τῆς ἰσηγορίας καὶ παρρησίας ζη-
τοῦσι πλέον ἔχειν τῶν πολλῶν· μάλιστα δ' εἰς τοῦτ'
ἐμπίπτουσιν οἱ ταῖς οὐσίαις ὑπερέχοντες. λοιπὸν ὅταν 23
ὁρμήσωσιν ἐπὶ τὸ φιλαρχεῖν καὶ μὴ δύνωνται δι'
αὑτῶν καὶ διὰ τῆς ἰδίας ἀρετῆς τυγχάνειν τούτων,
διαφθείρουσι τὰς οὐσίας δελεάζοντες καὶ λυμαινόμενοι
τὰ πλήθη κατὰ πάντα τρόπον. ἐξ ὧν ὅταν ἅπαξ

δωροδόκους καὶ δωροφάγους κατασκευάσωσι τοὺς πολλοὺς διὰ τὴν ἄφρονα δοξοφαγίαν, τότ' ἤδη πάλιν τὸ μὲν τῆς δημοκρατίας καταλύεται, μεθίσταται δ' εἰς βίαν καὶ χειροκρατίαν ἡ δημοκρατία. συνειθισμένον γὰρ τὸ πλῆθος ἐσθίειν τὰ ἀλλότρια καὶ τὰς ἐλπίδας ἔχειν τοῦ ζῆν ἐπὶ τοῖς τῶν πέλας, ὅταν λάβῃ προστάτην μεγαλόφρονα καὶ τολμηρόν, ἐκκλειόμενον δὲ διὰ πενίαν τῶν ἐν τῇ πολιτείᾳ τιμίων, τότε δὴ χειροκρατίαν ἀποτελεῖ καὶ τότε συναθροιζόμενον ποιεῖ σφαγάς, φυγάς, γῆς ἀναδασμούς, ἕως ἂν ἀποτεθηριωμένον πάλιν εὕρῃ δεσπότην καὶ μόναρχον.

24 *Αὕτη* πολιτειῶν ἀνακύκλωσις, αὕτη φύσεως οἰκονομία, καθ' ἣν μεταβάλλει καὶ μεθίσταται καὶ πάλιν εἰς αὐτὰ καταντᾷ τὰ κατὰ τὰς πολιτείας. ταῦτά τις σαφῶς ἐπεγνωκὼς χρόνοις μὲν ἴσως διαμαρτήσεται λέγων ὑπὲρ τοῦ μέλλοντος περὶ πολιτείας, τὸ δὲ ποῦ τῆς αὐξήσεως ἕκαστόν ἐστιν ἢ τῆς φθορᾶς ἢ ποῦ μεταστήσεται σπανίως ἂν διασφάλλοιτο χωρὶς ὀργῆς ἢ φθόνου ποιούμενος τὴν ἀπόφασιν.

Epigrammata.

1. Καλλιόπη σοφίην ἡρωίδος εὗρεν ἀοιδῆς·
   Κλειὼ καλλιχόρου κιθάρης μελιηδέα μολπήν·
   Εὐτέρπη τραγικοῖο χοροῦ πολυηχέα φωνήν·
   Μελπομένη θνητοῖσι μελίφρονα βάρβιτον εὗρε·
   Τερψιχόρη χαρίεσσα πόρεν τεχνήμονας αὐλούς.
   ὕμνους ἀθανάτων Ἐρατὼ πολυτερπέας εὗρε·
   τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν·
   Οὐρανίη πόλον εὗρε καὶ οὐρανίων χορὸν ἄστρων·
   κωμικὸν εὗρε Θάλεια βίον καὶ ἤθεα κεδνά.

   (Anthol. Palat. IX 504.)

2. Argumenta Iliados.

1. Ἄλφα λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων.
2. Βῆτα δ' ὄνειρον ἔχει, ἀγορήν, καὶ νῆας ἀριθμεῖ.
3. Γάμμα δ' ἄρ' ἀμφ' Ἑλένης οἴοις μόθος ἐστὶν ἀκοίταις.
4. Δέλτα θεῶν ἀγορή, ὅρκων χύσις, Ἄρεος ἀρχή.

5. *Εἶ βάλλει Κυθέρειαν Ἄρηά τε Τυδέος υἱός.*
6. *Ζῆτα δ' ἄρ' Ἀνδρομάχης καὶ Ἕκτορος ἔστ' ὀαριστύς.*
7. *Ἦτα δ' Αἴας πολέμιζε μόνῳ μόνος Ἕκτορι δίῳ.*
8. *Θῆτα δ' ἅπαντας ἔτρεψεν Ἀχαιοὺς Ἕκτορος αἰχμῇ.*
9. *Ἐξεσίη δ' Ἀχιλῆος ἀπειθέος ἐστὶν Ἰῶτα.*
10. *Κάππα δὲ Ῥήσου τὴν κεφαλὴν ἕλε Τυδέος υἱός.*
11. *Λάμβδα δ' ἀριστῆας Δαναῶν βάλον Ἕκτορος ἄνδρες.*
12. *Μῦ δὲ μάχη πρὸς τεῖχος· ὁ δ' ἔκθορε φαίδιμος Ἕκτωρ.*
13. *Νῦ δ' ἐπὶ νηυσὶ μάχῃ Δαναοῖς ἤμυνε Ποσειδῶν.*
14. *Ξῖ Κρονίδην λεχέεσσι καὶ ὕπνῳ ἤπαφεν Ἥρη.*
15. *Οὖ Κρονίδης κεχόλωτο Ποσειδάωνι καὶ Ἥρῃ.*
16. *Πῖ Πάτροκλον ἔπεφνεν ἀρήιον Ἕκτορος αἰχμή.*
17. *Ῥῶ Δαναοὶ Τρῶές τε νέκυν πέρι χεῖρας ἔμισγον.*
18. *Σίγμα Θέτις Ἀχιλῆι παρ' Ἡφαίστου φέρεν ὅπλα.*
19. *Ταῦ δ' ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.*
20. *Ὗ μακάρων ἐνοπὴ καὶ φύλοπις Οὐρανιάων.*
21. *Φῖ μόγος Αἰακίδαο παρ' ἠιόνας ποταμοῖο.*
22. *Χῖ δ' ἄρα τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.*
23. *Ψῖ Πάτροκλον θάπτει καὶ ἐξετέλεσσεν ἀγῶνας.*
24. *Ὦ νέκυν Ἕκτορα πατρὶ λύτρων πόρεν εἵνεκ' Ἀχιλλεύς.*

3. *Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,*
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον,
οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα,
οἱ δέ νυ τῶν Λαπιθέων ματέρα Θεσσαλίην·
ἄλλοι δ' ἄλλην μαῖαν ἀνίαχον. εἰ δέ με Φοῖβον
χρὴ λέξαι πινυτὰς ἀμφαδὰ μαντοσύνας,
πάτρα σοι τελέθει μέγας οὐρανός, ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.
(Antipater. A. P. XVI 296.)

4. *Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ*
δώμησαν Τρώων δεῖμα καὶ ἐσσομένων·
αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῆσι θαλάσσης
κυδαίνοιτο πάις τῆς ἁλίας Θέτιδος.
(Antiphilus Byzant. A. P. VII 142.)

5. *Ἅδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι*
Αἴαντος τύμβῳ κειρομένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ' Ἀχαιοῖς
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ δύναται.
(Asclepiades. A. P. VII 145.)

6. *Αὐταί ποιμαίνοντα μεσημβρινὰ μῆλά σε Μοῦσαι*
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
καί σοι καλλυπέτηλον, ἐρυσσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνας ἱερὸν ἀκρεμόνα,
δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ;

οὗ σὺ κορεσσάμενος μακάρων γένος ἔργα τε μολπαῖς
  καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.
(*Asclepiades? A. P. IX 64.*)

7. *Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας*
  ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
  οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
  Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἀνίκ' ἀλαλκεῖν
  τῶν παίδων Ἀίδαν οὐδὲ θεοῖς δύναμις;
(*Antipater Sidonius. A. P. VII 8.*)

8. *Σαπφώ τοι κεύθεις, χθὼν Αἰολί, τὰν μετὰ Μούσαις*
  ἀθανάταις, θνατὰν Μοῦσαν ἀειδομέναν,
ἂν Κύπρις καὶ Ἔρως σὺν ἅμ' ἔτραφον, ἇς μέτα Πειθὼ
  ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. Ὦ τριέλικτον
  Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
  ἄφθιτα μησαμένᾳ δῶρ' Ἑλικωνιάδων;
(*Antip. Sid. A. P. VII 14.*)

9. *Σῆμα τόδ' Ἀρχιλόχου παραπόντιον, ὅς ποτε πικρὴν*
  μοῦσαν ἐχιδναίῳ πρῶτος ἔβαψε χόλῳ
αἱμάξας Ἑλικῶνα τὸν ἥμερον. οἶδε Λυκάμβης
  μυρόμενος τρισσῶν ἅμματα θυγατέρων.
ἠρέμα δὴ παράμειψον, ὁδοιπόρε, μήποτε τοῦδε
  κινήσῃς τύμβῳ σφῆκας ἐφεζομένους.
(*Gaetulicus. A. P. VII 71.*)

10. *Αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλισσαι*
  ποικίλα Μουσάων ἄνθεα δρεψάμεναι·
αὐταὶ καὶ Χάριτές σοι δωρήσαντο, Μένανδρε,
  στωμύλον εὐτυχίην δράμασιν ἐνθέμεναι.
Ζώεις εἰς αἰῶνα· τὸ δὲ κλέος ἐστὶν Ἀθήναις
  ἐκ σέθεν οὐρανίων ἁπτόμενον νεφέων. (*A. P. IX 187.*)

11. *Διογένευς τόδε σῆμα, σοφοῦ κυνός, ὅς ποτε θυμῷ*
  ἄρσενι γυμνήτην ἐξεπόνει βίοτον·
ᾧ μία τις πήρα, μία διπλοῒς, εἷς ἅμ' ἐφοίτα
  σκίπων, αὐτάρκους ὅπλα σαοφροσύνας.
ἀλλὰ τάφου τοῦδ' ἐκτὸς ἴτ', ἄφρονες, ὡς ὁ Σινωπεὺς
  ἐχθαίρει φαῦλον πάντα καὶ εἰν Ἀΐδῃ.
(*Antipater. A. P. VII 65.*)

12. *Ἐλθὼν εἰς Ἀΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας,*
  Διογένης ὁ κύων Κροῖσον ἰδὼν ἐγέλα,
καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
  τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,

εἶπεν· 'Ἐμοὶ καὶ νῦν πλείων τόπος· ὅσσα γὰρ εἶχον,
πάντα φέρω σὺν ἐμοί· Κροῖσε, σὺ δ' οὐδὲν ἔχεις.'
(A. P. IX 145.)

13\. Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψηφῖδα παρ' Ἕρμον
φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.
(A. P. XIV 112.)

14\. Οἵδε τριηκόσιοι, Σπάρτα πατρί, τοῖς συναρίθμοις
Ἰναχίδαις Θυρέαν ἀμφὶ μαχεσσάμενοι
αὐχένας οὐ στρέψαντες, ὅπᾳ ποδὸς ἴχνια πρᾶτον
ἁρμόσαμεν, ταύτᾳ καὶ λίπομεν βιοτάν.
ἄρσενι δ' Ὀθρυάδαο φόνῳ πεπαλυμμένον ὅπλον
καρύσσει· 'Θυρέα, Ζεῦ, Λακεδαιμονίων.'
(Simonides? A. P. VII 431) cf. Herod. I 82 sq.

15\. Οὔρεά μευ καὶ πόντον ὑπὲρ τύμβοιο χάρασσε
καὶ μέσον ἀμφοτέρων μάρτυρα Λητοΐδην
ἀενάων τε βαθὺν ποταμῶν ῥόον, οἵ ποτε ῥείθροις
Ξέρξου μυριόναυν οὐχ ὑπέμειναν Ἄρην.
ἔγγραφε καὶ Σαλαμῖνα, Θεμιστοκλέους ἵνα σῆμα
κηρύσσει Μάγνης δῆμος ἀποφθιμένου.
(Alpheus Mitylenaeus. A. P. VII 237.)

16\. Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσα Μήδων
Παυσανίας Φοίβῳ μνᾶμ' ἀνέθηκα τόδε.
(Simonides. A. P. VI 197.)

17\. Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.
(Simonides. A. P. VII 677) cf. Herodot. VII 219. 221. 228.

18\. Εὐκλέας αἶα κέκευθε, Λεωνίδα, οἳ μετὰ σεῖο
τῇδ' ἔθανον, Σπάρτης εὐρυχόρου βασιλεῦ,
πλείστων δὴ τόξων τε καὶ ὠκυπόδων σθένος ἵππων
Μηδείων ἀνδρῶν δεξάμενοι πολέμῳ.
(Simonides. A. P. VII 301.)

19\. Πουλὺ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάικτον
Ξέρξης ἐχλαίνου φάρεϊ πορφυρέῳ·
ἐκ νεκύων δ' ἤχησεν ὁ τᾶς Σπάρτας πολὺς ἥρως·
'Οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον·
ἀσπὶς ἐμοὶ τύμβου κόσμος μέγας· αἶρε τὰ Περσῶν·
χἤξω κεἰς Ἀΐδην ὡς Λακεδαιμόνιος.'
(Philipp. Thessalonic. A. P. IX 293.)

20\. Ληθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
δεύτερον ἔσχ' Ἀΐδης, πάντας ἀρηϊφάτους,

'Σπάρτας ὁ στόλος', εἶπεν· 'ἴδ' ὡς πάλι πρόσθια πάντα
τραύματα, καὶ στέρνοις δῆρις ἔνεστι μόνοις·
νῦν γε μόθου κορέσασθε, καὶ εἰς ἐμὸν ἀμπαύσασθε
ὕπνον, ἀνικάτου δῆμος Ἐνυαλίου.'

(*Bassus. A. P. IX 279.*)

21. Ἄσβεστον κλέος οἵδε φίλῃ περὶ πατρίδι θέντες
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.

(*Simonides. A. P. VII 251.*)

22. Οἵδε παρ' Εὐρυμέδοντά ποτ' ἀγλαὸν ὤλεσαν ἥβην,
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

(*Simonides. A. P. VII 258.*)

23. Ἐξ οὗ γ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

(*Simonides. A. P. VII 296.*)

24. Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
παῖδ' ἑὸν ἐς πάτραν ὠκὺν ἱέντα πόδα,
ἀντίη ἀΐξασα δι' ἥπατος ἤλασε λόγχαν,
ἄρρενα ῥηξαμένα φθόγγον ἐπὶ κταμένῳ·
''Ἀλλότριον Σπάρτας', εἶπεν, 'γένος, ἔρρε πρὸς Ἅιδαν,
ἔρρ', ἐπεὶ ἐψεύσω πατρίδα καὶ γενέταν.' (*A. P. IX 61.*)

25. Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτὼ
παῖδας ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ·
δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπεν
μοῦνον· ''Ἰὼ Σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.'

(*Dioscorides. A. P. VII 434.*)

26. Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους,
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ' ὁ πρέσβυς
παῖδ' ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τιθείς·
'Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δὲ σέ, τέκνον, ἄδακρυς
θάψω τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.'

(*Dioscorides. A. P. VII 229.*)

ES

S 004

d ays